(πολλὴ γάρ τις ἐπιπολάζει παμφλάζουσα τοῖς ἐκεῖσε μέρεσιν ἡ τυραννικὴ δρυμύτης) μεταβαίνει ἐκεῖσε πρὸς μικρὰν ἄνεσιν, καὶ πάλιν μετὰ μικρὸν ἐπανακάμπτει, δοκῶν πως ἀνακουφίζεσθαι τῷ τρόπῳ τούτῳ, καὶ εὑρίσκειν ἐλάφρωσιν τῶν δεινῶν διὰ τῆς τῶν τόπων ἐναλλαγῆς· περὶ οὗ συνετελέσθη διάγνωσις συνοδικὴ καὶ συνεωράθη κοινῶς, εὔλογον ὑπάρχειν τὴν αἴτησιν αὐτοῦ, καὶ δικαίαν ἐχομένην αἰτίαν, χρεόν τε πάντως εἶναι τὸν ἀρχιερέα τυχεῖν τῆς ἐκκλησιαστικῆς ἀντιλήψεως, ἀνεπηρέαστον χαριζομένης αὐτῷ καὶ ἀσφαλεστέραν ἐνδιαίτησιν, ἐπὶ καταπειγούσαις ἀνάγκαις· καὶ οὕτως ἐγνωμοδοτήθη κοινῶς, ἑνωθῆναι τέως τὴν ἐξαρχίαν Κερασοῦντος μετὰ τῶν ὑποκειμένων αὐτῇ χωρίων ἀνέκαθεν, τῇ μητροπόλει Τραπεζοῦντος, ὥστε συνημμένην ταύτῃ διατελεῖν τοῦ λοιποῦ, ἀδιαιρέτως, καὶ ἀδιασπάστως, καὶ μίαν μόνην ἐπαρχίαν εἶναί τε καὶ λογίζεσθαι δεσποζομένη, καὶ ἐξουσιαζομένη, ὑπό τε νῦν, καὶ τοῦ κατὰ καιροὺς μητροπολίτου Τραπεζοῦντος, ὡς ἐνοριακὴ, καὶ γνησία αὐτοῦ χώρα, ἀναμφισβητήτως, καὶ ἀνεπικωλύτως. Ἐπὶ δὲ τούτοις διέγνωσται, ὅπως ὀφείλει παρέχειν κατ' ἔτος μόνον τὸ ἐτήσιον, ὅπερ ὑπῆρχε διωρισμένον λαμβάνειν ἐξ αὐτῆς τοὺς λαχόντας ἔχειν ταύτην ἐξαρχικῶς τιμιωτάτους κληρικοὺς τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, ἥτις κατὰ τὸ ἐνεστὸς ἐξαρχία τελεῖ τοῦ τιμιωτάτου καὶ λογιωτάτου πρωτεκδίκου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κυροῦ σπαντωνῆ υἱοῦ κατὰ πνεῦμα ἀγαπητοῦ τῆς ἡμῶν μετριότητος, καὶ αὐτὸς ἔχει παραλαμβάνειν ταύτης τὸ ἐτήσιον ἀνελλειπῶς. Ἂν δ' ὀψέποτε φανῇ ἀπεναινόμενος τὴν δόσιν τοῦ αὐτοῦ ἐτησίου, ὁ κατὰ καιροὺς μητροπολίτης τραπεζοῦντος, ἐκπίπτειν τὴν Κερασοῦντα ταύτην τῆς ἐξουσίας αὐτοῦ, καὶ ἀποσπᾶσθαι τῆς μητροπόλεως Τραπεζοῦντος, καὶ εἰς τὴν προτέραν αὐτῆς ἀντικαθίστασθαι τάξιν. Τούτου χάριν, καὶ γράφοντες ἀποφαινόμεθα συνοδικῶς· ἵνα, ἡ διαληφθεῖσα ἐξαρχία κερασοῦντα μετὰ τῶν ὑποκειμένων ἐν αὐτῇ χωρίων Τριπόλεως, καὶ Κοράλων ἀπὸ τοῦ νῦν, καὶ εἰς τὸ ἑξῆς ὑπάρχῃ συνηνωμένη, καὶ συνηρμοσμένη τῇ μητροπόλει Τραπεζοῦντος, μετὰ πάντων τῶν κτημάτων, καὶ ἀφιερωμάτων αὐτῆς κινητῶν τε, καὶ ἀκινήτων, ἀδιαιρέτως, καὶ ἀναποσπάστως, μία καὶ μόνη ἐπαρχία ἐξ ἀμφοτέρων ὑπάρχουσα, ὡς γνησία, καὶ ἐνοριακὴ χώρα τῆς μητροπόλεως τραπεζοῦντος γνωριζομένη, δεσποζομένη τε, καὶ ἐξουσιαζομένη, ὑπό τε τοῦ νῦν ἱερωτάτου μητροπο-

λίτου Τραπεζοῦντος κὺρ Νεκταρίου, καὶ πάντων τῶν μετ᾽ αὐτὸν ἀρχιερατευσόντων ἐν αὐτῇ, ἰθυνομένη τε, καὶ διεξαγομένη ἀρχιερατικῶς, ἔχοντος ἐπ᾽ ἀδείας ποιμαίνειν πνευματικῶς τὸν ἐν αὐτῇ τοῦ κυρίου λαὸν, καὶ διεξάγειν, καὶ ποδηγετεῖν πρὸς ὁδοὺς σωτηρίας, εὐλογεῖν τε, καὶ ἁγιάζειν αὐτοὺς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελεῖν κατὰ τὴν περίληψιν τῆς πράξεως αὐτοῦ, καὶ καρποῦσθαι, καὶ νέμεσθαι τὰ ἐξ αὐτῆς ἐκκλησιαστικὰ δικαιώματα, ἀναντιῤῥήτως, καὶ ἀνεμποδίστως· ὀφείλει μέν τοι ὅ,τε νῦν μητροπολίτης τραπεζοῦντος κὺρ Νεκτάριος, καὶ οἱ μετ᾽ αὐτὸν ἀρχιερατεύσοντες ὁμοίως, πληροῦν, ὡς διείληπται, πρὸς τὸν διαληφθέντα τιμιώτατον καὶ λογιώτατον πρωτέκδικον τῆς καθ᾽ ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας κὺρ Σπαντωνὴ κατ᾽ ἐνιαυτὸν τὸ εἰρημένον ἐτήσιον ἀνὰ τριάκοντα γρόσια ἀπροφασίστως· τοῖς δὲ ταύτην οἰκοῦσι τὴν Κερασοῦντα ἱερωμένοις, καὶ λαϊκοῖς ἐντελλόμεθα, ἵνα τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος κὺρ Νεκτάριον γινώσκουσιν ἀπὸ νῦν ἀρχιερέα, καὶ προστάτην αὐτῶν, καὶ ποιμένα πνευματικὸν, καὶ μνημονεύωσι τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς ἀεὶ τελεταῖς, εὐλογοῦντα, καὶ ἁγιάζοντα αὐτοὺς, καὶ ποιμαίνοντα πνευματικῶς, καὶ διεξάγοντα ἀρχιερατικῶς· τιμῶντες, καὶ ἀγαπῶντες αὐτὸν, καὶ πειθόμενοι, καὶ ὑποτασσόμενοι αὐτῷ κατὰ τὸ πρέπον, καὶ δίκαιον, καὶ παρέχοντες εἰρηνικῶς, καὶ εὐπειθῶς τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικὰ φημὶ συνοικήσεα, πανηγύρεις, ζητίας, ἐμβατοίκια καὶ εἴτι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου αὐτῷ, ἢ ἀντιλέγοντος ἢ παρεμποδίζοντος ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ τοῦ ἀπὸ θεοῦ παντοκράτορος. Ὅθεν εἰς ἔνδειξιν ἀπελύθη καὶ τὸ παρὸν ἑνωτικὸν πατριαρχικὸν, συνοδικὸν σιγιλλιῶδες ἐν μεμβράναις γράμμα.

,αχҶή. ὀκτωβρίου ἰνδικτιῶνος ζ΄.

† ΚΑΛΛΙΝΙΚΟΣ ἐλέῳ Θεοῦ ἀρχιεπίσκοπος Κωνς/πόλεως καὶ Οἰκουμενικὸς Πατριάρχης.

(Ἕπονται πέντε δυσανάγνωςοι ὑπογραφαὶ ἀρχιερέων.)

Διὰ ταύτης φαίνεται ἡ πρότερον μὲν μητρόπολις, ἤδη δὲ εἰς ἐξαρχίαν πατριαρχικὴν μεταβληθεῖσα Κερασοῦς συνδεθεῖσα μετὰ τῆς

Τραπεζοῦντος· ἡ ἐπιστολὴ αὕτη ἐπιμαρτυρεῖ τὸ ἄγριον καὶ δριμὺ καὶ τυραννικὸν τῆς δεσποζούσης φυλῆς ἐν Τραπεζοῦντι, περὶ ἧς εἴπομεν ἐν τῇ διηγήσει τὰ εἰκότα.

ΜΕΘΟΔΙΟΣ

ΕΛΕΩ ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ κτλ.

Ἱερώτατε μητροπολίτα Καμάχου, ὁ καὶ τῆς Θεοδοσιουπόλεως προστατεύων κὺρ Λαυρέντιε, ἐν ἁγίῳ Πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ, χάρις εἴη σοι, καὶ εἰρήνη ἀπὸ Θεοῦ. Ἐδῶ ἦλθε, καὶ ἐστάθη ἐπὶ Συνόδου, ὁ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς, κὺρ Ἰωάννης, καὶ ἐκλαύθη ἀπὸ τοῦ λόγου σου, λέγωντας, ὅτι, ἐπιβαίνεις παρ' ἐνορίαν, καὶ καταπατεῖς κάποια χωρία ἐδικά του, ὅπου εἶναι ὑποκείμενα εἰς τὴν ἐπαρχίαν του γνησίως, καὶ ἁρπάζεις τὰ δικαιώματά του ληστρικῶς μὲ δύναμιν ἐξωτερικὴν, καὶ πορεύεσαι ἄτακτα, καὶ παράνομα, καὶ παραβαίνεις τοὺς θείους νόμους, καὶ ἱεροὺς κανόνας· τὸ ὁποῖον εἶναι μεγάλον ἔγκλημα, καὶ δὲν ἔχεις καμμίαν δικαιολογίαν εἰς αὐτό· διότι, οἱ εὑρισκόμενοι χριστιανοὶ εἰς τὰ χωρία μας ἔγραψαν ἀναφορὰν ἱερεῖς, καὶ λαϊκοὶ, καὶ μαρτυροῦσι, πῶς ἄνωθεν, καὶ ἐξ ἀρχῆς, τὸν Τραπεζοῦντος ἠξεύρουσι διὰ ἀρχιερέα τους, καὶ ποιμένα τους, καὶ εἰς αὐτὸν ἐπλήρωναν τὰ δικαιώματά τους ἕως τώρα· ἔξω δὲ, ἀπὸ τὴν μαρτυρίαν ταύτην, ἐξετάσαμεν καταλεπτῶς καὶ διὰ τὰ χωρία, καὶ εἶναι ἡ καθολικαῖς ἐπισκοπαῖς τοῦ Τραπεζοῦντος, ἂν καλὰ καὶ ὀλίγον τίποτις ἄλλαξαν τὰ ὀνόματά τους, ἀπὸ τοῦ καιροῦ τὰ συμβάντα, καθὼς ἔπαθαν ὅλοι, οἱ τόποι καὶ ἡ χώραις· διότι τὸ λεγόμενον Καλκέτι, εἶναι ἡ ἐπισκοπὴ ἡ λεγομένη Χαχαίου· πάλιν τὸ τερτζὰν εἶναι ἐπισκοπὴ βυζάνων· τὸ δὲ ἐρζιγκὰν εἶναι ἐπισκοπὴ Χάντιερζ· τὸ δὲ Τζινίση εἶναι ἐπισκοπὴ σακάβου· τὸ δὲ πασένι εἶναι ἐπισκοπὴ φασιανῆς· τὸ δὲ παγιπούρτι, εἶναι ἐπισκοπὴ πάγιπερ· τὸ δὲ κουάζι εἶναι ἐπισκοπὴ Λερίου· καθὼς, καὶ οἱ ἐντόπιοι ἐκ παραδόσεως τὰ γινώσκουσι καὶ τὰ ὁμολογοῦσιν. Ὅθεν γράφομεν καὶ ἐντελλόμεθά σοι συνοδικῶς, γνώμῃ καὶ τῶν παρευρεθέν-

των ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν· ἵνα ἐξ ἀποφάσεως ἀπὸ τοῦ νῦν καὶ εἰς τὸ ἑξῆς, νὰ λείπῃς μακρὰν ἀπὸ τὰ χωρία ταῦ-τα, καὶ τὰ ἄσπρα ὅπου ἐπῆρες ἀδίκως νὰ τὰ ἐπιστρέψῃς ὀπίσω εἰς τὸν ἀρχιερέα, νὰ διορθώνῃς τὸ σφάλμα σου, ὅτι ἔκαμες φανερὴν ἁρπαγὴν, καὶ ἔγκλημα, διὰ τὸ ὁποῖον καθήρεσαι ἀπὸ τοὺς ἱεροὺς κανόνας, καὶ ξεπεύτεις ἀπὸ τὴν ἀρχιερωσύνην σου· καὶ μὴ φαντά-ζεσαι πῶς εἶσαι εἰς ἄλλο κλῖμα, ὅτι, ὁ οἰκουμενικὸς θρόνος, ἔχει προνόμια, νὰ ἀνακρίνῃ ὅλους τοὺς θρόνους, καὶ δὲν ἀφίνει κανένα, νὰ τζαλαπατῇ τοὺς τόπους του, καὶ νὰ φθείρῃ τὰ δίκαιά του· διὰ τοῦτο στοχάσου νὰ περιπατῇς κατὰ κανόνας, καὶ νὰ φυλλάττῃς τὰ ὅριά σου, διὰ νὰ ἔχῃς τὴν τιμήν σου, καὶ νὰ λείψουν τὰ σκάν-δαλα, νὰ μὴν ἀλληλομαχῆτε μὲ τὸν ἀρχιερέα, λέγω τὸν ἱερώτατον μητροπολίτην τραπεζοῦντος, ὅτι εἶναι ἀνάρμοστον, καὶ ἄπρεπον, εἰς τοὺς ἐκκλησιαστικοὺς νὰ εἶναι μαλώματα, καὶ εἰς τὴν πνευμα-τικὴν ἀδελφότητα νὰ εἶναι μάχαις καὶ πόλεμοι· μάλιστα τρέχουν καὶ ἔξοδα καὶ ζημίαις περισσότεραις ἀπὸ τὸ διάφορον, καὶ ἄλλα ἐναντία, καὶ θλιβερά· διὰ τοῦτο, ἄπεχε ἀπὸ τὰ σκάνδαλα, νὰ εἶσαι καὶ ἀκατάκριτος, καὶ ἀζήμιος· οὕτω ποίησον ὡς πρέπει, ἡ δὲ τοῦ θεοῦ χάρις εἴη μετὰ σοῦ. ͵αχο΄.

(Ἕπεται ἡ ἰνδικτιὼν ἰδιόχειρος δυσανάγνωστος καὶ ὀκτὼ ἄλλων ἀρχιερέων ὑπογραφαί (*).

Ἡ ἐπιστολὴ διευθύνεται πρὸς τὸν Καμάχου· ἄρα ὑπῆρχε τότε ἐν ἐνεργείᾳ ἡ ἐπαρχία, ὅπου σήμερον οὐδεὶς οἰκεῖ ἕλλην. Ὁ ἀρχιε-ρεὺς αὐτῆς πιθανῶς καταγόμενος ἀπὸ Χαλδαίων ἐξήσκει ἀρχιερα-τικὴν δικαιοδοσίαν ἐπὶ τῶν χριστιανῶν, ἐκ Χαλδίας μετοικησάντων ἀρτίως, διότι δὲν ὑποθέτομεν, ὅτι οἱ χριστιανοὶ τῶν χωρῶν ἐκείνων ἐπέζησαν ἀπὸ τῶν πρώτων ἰθαγενῶν μετὰ τοσαύτας ἐκδρομὰς καὶ ἐπιδρομάς· ἔχων λοιπὸν σχέσεις φυλετικὰς μετὰ τῶν κατοίκων, πλησιέστερος τοῦ Τραπεζοῦντος ὤν, ἐνήργει ὡς κανονικὸς ἀρχιερεύς· τοῦτο διηρέθισε τὸν Τραπεζοῦντος, ὅστις, πρέπει νὰ τὸ ὁμολογή-σωμεν, σπανίως ἢ ποτὲ διὰ τὴν ἀπόστασιν καὶ τοὺς καθ᾽ ὁδὸν κιν-δύνους ἐπεσκέπτετο τὰς χώρας ἐκείνας. Ἐτέλει δὲ, ὡς φαίνεται, ὁ Καμάχου διὰ τὴν Θεοδοσιούπολιν εἰς τὴν δικαιοδοσίαν τοῦ Ἀντιο-

(*) Ἐνταῦθα δὲν διεφυλάχθη ἡ χρονολογικὴ ἀκρίβεια.

χείας πατριάρχου, καὶ διὰ τοῦτο λέγεται εἰς ἄλλο κλῖμα ἤτοι διοίκησιν ἀνήκων. Τί ἀποτέλεσμα ἐπήνεγκεν ἡ ἐπιστολή, εἶναι ἄγνωστον· ἀλλ' αἱ χῶραι αὗται ἔπειτα αἱ μὲν περιῆλθον διὰ τοὺς αὐτοὺς λόγους εἰς τὴν δικαιοσίαν Χαλδίας, ἀφ' οὗ ἀπεδόθησαν ἐσχάτως τῷ Νικοπόλεως, πλησιέστερον ὄντι· τὸ δὲ Κουάζι διέμεινεν καὶ διαμένει ὑπὸ τὸν Θεοδοσιουπόλεως. Ἕπονται αἱ μεταξὺ Χαλδίας διαφοραί· ἐκ τῶν ἐγγράφων τούτων παρατιθέμεθα τὰ ἐπισημότερα. Ἀλλ' ἵνα λάβῃ ὁ ἀναγνώστης ἰδέαν τινα περὶ τούτων, προτάττομεν μικρὰν τῶν ἐπιστολῶν τούτων ἀφήγησιν.

Ἡ Κερασοῦς ἀπετέλει τὸ κατ' ἀρχὰς μητροπολιτικὸν ἴδιον θρόνον, ἀποσπασθέντα ἐν ἀρχαιοτάτοις χρόνοις ἀπὸ τοῦ θρόνου τῆς Νεοκαισαρείας, εἰς ὃν ὑπήγετο. Ὡς μητρόπολις λοιπὸν διέμεινε καὶ κατὰ τοὺς πρώτους αἰῶνας τῶν δουλικῶν χρόνων· ἔπειτα δὲ περιορισθέντος πολὺ τοῦ χριστιανισμοῦ, μὴ δυναμένη νὰ θρέψῃ ἴδιον ἀρχιερέα, μετεποιήθη εἰς ἐξαρχίαν πατριαρχικήν, καὶ διενέμετο αὐτὴν εἷς τῶν ἐκκλησιαστικῶν ἀρχόντων· τοῦτο ἐγένετο εἰς πολλὰς ἄλλας ἐπαρχίας, ἐξ ὧν καὶ τὸ Ἀβώνου τεῖχος ἢ ἡ Ἰαννούπολις μεταβληθεῖσα καὶ αὕτη εἰς ἐξαρχίαν πατριαρχικήν, καὶ χορηγηθεῖσα μέχρις ἐσχάτων εἰς ἕνα τῶν ἐκκλησιαστικῶν ἀρχόντων. Ἐπειδὴ δὲ καὶ τῆς Τραπεζοῦντος τὰ ὅρια πολὺ περιωρίσθησαν, καὶ δὲν ἠδύνατο νὰ θρέψῃ ἴδιον ἀρχιερέα, καὶ μάρτυς ἡ μεγίστη τῶν τότε ἀρχιερέων πενία, ὑφ' ἧς πιεζόμενοι κατέφευγον εἰς ἐπαιτίας· δύο δὲ τοιαύτας ἀδείας πατριαρχικὰς τοῦ περιέρχεσθαι καὶ ἐπαιτεῖν εὕρομεν χορηγηθείσας παρὰ τῆς μεγάλης ἐκκλησίας, τῆς μὲν τῷ πρώτῳ Ἀνανίᾳ, τῆς δὲ τῷ δευτέρῳ περὶ τὰ μέσα τοῦ παρελθόντος αἰῶνος, καὶ σωζομένας ἐν τῇ μητροπόλει, ἐν αἷς ζωγραφεῖται διὰ μελανῶν χρωμάτων ἡ ἀνέχεια τῶν τότε ἀρχιερέων καὶ ἡ τυραννικὴ καταπίεσις τῶν κατοίκων· διὰ τοῦτο ὁ ἀρχιερεὺς αὐτῆς Νεκτάριος περὶ τὸ 1698, ἵνα γείνῃ αὐτῷ μικρὸν ἀντισήκωμα, καὶ ἵνα ἐν ὥρᾳ κινδύνου ἔχῃ ποῦ νὰ καταφεύγῃ, ἐζήτησε νὰ συγχωνευθῇ ἡ ἐπαρχία Κερασοῦντος μετὰ τῆς Τραπεζοῦντος. Ἡ αἴτησις ἐγένετο δεκτή, καὶ ἡ Κερασοῦς προσηρτήθη τῇ Τραπεζοῦντι ἐπὶ τριακονταγρόσῳ τὸ πρῶτον, ἔπειτα δὲ τεσσαρακονταγρόσῳ ἐτησίᾳ χορηγήσει πρὸς τὸν ἐκκλησιαστικὸν ἄρχοντα, εἰς ὃν παρεχωρήθη ἐπὶ ὅρου ζωῆς αὐτοῦ· τοιοῦτοι δὲ ἐκκλησιαστικοὶ ἄρχοντες ἀναφέρονται ὁ πρωτεκδικος Σπαντωνῆς, ὁ διδάσκαλος Κριτίας, ὁ Νομοδότης Ἀντώνιος,

παρ' οὗ ἠγοράσθη ἐντελῶς διὰ χορηγίας ἅπαξ διὰ παντὸς τετρακοσίων τριάκοντα γροσίων, ὑπὲρ οὗ ἐδόθη καὶ ἄλλο σιγίλλιον τῷ 1774. Ἀλλ' ὁ Νεκτάριος λαβὼν τὴν ἐξαρχίαν, ἐπώλησεν ἐξ αὐτῆς πρὸς τὸν Χαλδίας τὴν περιφέρειαν τοῦ Κουρτουνίου περὶ τὰς ἐκβολὰς τοῦ Χαρσιώτου ποταμοῦ. Κατὰ τῆς πωλήσεως ταύτης κατεξανέστησαν οἱ διάδοχοι τοῦ Νεκταρίου μητροπολῖται Τραπεζοῦντος, ὡς παρὰ κανόνας γενομένην, καὶ ἐζήτουν νὰ ἀκυρωθῇ· καὶ ἀληθῶς παρὰ δύο ἀλληλοδιαδόχων πατριαρχῶν ἡ πώλησις ἐκηρύχθη παράνομος, ὡς μὴ ἔχοντος τὴν δύναμιν τοῦ ἀρχιερέως νὰ πωλῇ ἐπισκοπικὰ πράγματα καὶ τὰ ἀποσπασθέντα χωρία διετάχθησαν νὰ ἀναγνωρίζωσι μόνον τὸν Τραπεζοῦντος κανονικὸν αὐτῶν ἀρχιερέα. Πρὸς δὲ τούτοις ἐκκλησιαστικός τις ἄρχων συμφωνήσας μετά τινος τῶν ἀρχιερέων Χαλδίας, καὶ αὐξήσας τὴν ἐτήσιον δόσιν εἰς γρ. 40, ἀπένειμε ἐκείνῳ τὴν ἐξαρχίαν, δοὺς ἐπὶ τούτῳ καὶ πατριαρχικὸν αὐτῷ γράμμα. Ἡ δευτέρα αὕτη δόσις κατεδικάσθη διὰ συνοδικοῦ ἄλλου συγιλλιώδους γράμματος ὑπὸ τοῦ πατριάρχου Παϊσίου, καὶ ἐθεωρήθη ἄκυρος καὶ ἡ ἐξαρχία ἐπεδόθη μετὰ τῶν χωρίων αὐτῆς τῷ Τραπεζοῦντος. Ἀλλὰ ταῦτα μὲν ἐγίνοντο ἐν Κωνσταντινουπόλει, ἐκεῖσε ὅμως αἱ τοιαῦται τῆς ἐκκλησίας ἀποφάσεις δὲν εἰσηκούοντο· διότι ὁ Χαλδίας μέγα ἰσχύων διὰ τοὺς ἐπαρχιώτας αὐτοῦ καὶ μάλιστα τοὺς ἀρχιμεταλλεῖς, οὐδεμίαν προσοχὴν ἔδιδεν εἰς τὰ ἐντάλματα τοῦ πατριαρχείου, ἀλλὰ ἀποδιώκων τοὺς παρὰ τῆς Τραπεζοῦντος πεμπομένους ἱερεῖς, ἐκυβέρνα αὐτὸς τὴν ἐπαρχίαν αὐθαιρέτως, εἰς οὐδεμίαν ὑπείκων προσταγήν· ἕως οὗ ἐπὶ τῆς πατριαρχίας Σαμουὴλ συμπαρεστάθησαν ἐνώπιον τῆς ἐκκλησίας οἱ δύο ἀρχιερεῖς, ὁ Τραπεζοῦντος Δωρόθεος καὶ ὁ Χαλδίας Διονύσιος, καὶ ἐπὶ τέλους συνεφώνησαν καὶ συνεβιβάσθησαν, ἵνα ὁ μὲν Χαλδίας λαμβάνῃ ἀπὸ μόνων τῶν μεταλλευτῶν ἐκ τῆς ἐπαρχίας αὐτοῦ ὄντων τὸ ὡρισμένον ζητωμάριον, ἡ δὲ χώρα λογίζηται ἐνοριακὴ τῆς Τραπεζοῦντος καὶ διὰ τοῦτο ἔχῃ ἐπὶ τῶν ἱερέων ἀποκλειστικὴν δεσποτείαν, καὶ τούτου μόνον τὸ ὄνομα μνημονεύηται ἐν ταῖς ἱεραῖς τελεταῖς· παρέσχε δὲ ἐπὶ τούτῳ ὁ Χαλδίας καὶ ἔγγραφον ὑπόσχεσιν. Ἀλλ' ἐπανακάμψας ἐκ Κωνσταντινουπόλεως παρέβη τὰ ὑποσχεθέντα, καὶ κατεκράτησε καὶ κατακρατεῖ μέχρι τοῦδε τὰ εἰς τὸν Τραπεζοῦντος ἀνήκοντα. Τοιοῦτον τὸ ἱστορικὸν τῶν ἐγγράφων. Σημειούσθω δὲ ὅτι ἐν τῇ συγχωνεύσει τῶν ἐπαρχιῶν οὐδαμοῦ

μνημονεύονται τὰ ὑπὲρ τὴν Κερασοῦντα σήμερον ὑπάρχοντα ἑλληνικὰ χωρία, ἀλλὰ μόνον ἡ Τρίπολις καὶ τὰ Κόραλλα μετὰ τῶν εἰς αὐτὰ ὑπαγομένων μεταλλοφόρων καὶ μὴ τοιούτων χωρίων. Καὶ φαίνεται ὅτι αὗται δὲν συνεκροτήθησαν ἀκόμη, ἀλλ' ἦσαν χῶραι ὑπὸ Τούρκων ἀποκλειστικῶς οἰκούμεναι. Ὕστερον ὅμως καὶ ταύτας, ὡς ἐκ τῆς Χαλδίας τῆς ἐπαρχίας αὐτοῦ κατοικηθείσας, διὰ τὰς αὐτὰς αἰτίας παρανόμως ἐκράτησε.

Ἀλλὰ καὶ ἐκκλησιαστικὸν ἀπεστάλη ἐπιτίμιον πρὸς τὸν μὴ δόντα προσοχὴν εἰς τὰ ὑπὸ τῆς ἐκκλησίας διαταχθέντα, διαδικασθέντα καὶ ἐπικυρωθέντα ἀρχιερέα Χαλδίας Φιλόθεον, ὅπερ ἐν τῷ κώδηκι τῆς Τραπεζουντείου μητροπόλεως ἐντυχόντες ἀντιγεγραμμένον ἐπισυνάπτομεν· φέρει δὲ ὡς ἑξῆς.

ΓΑΒΡΙΗΛ

ΕΛΕῼ ΘΕΟΥ κτλ.

Θεοφιλέστατε ἀρχιεπίσκοπε Χαλδίας καὶ χαιριάννων, ἐν ἁγίῳ πνεύματι ἀγαπητὲ ἀδελφὲ καὶ συλλειτουργὲ κὺρ Φιλόθεε, χάρις εἴη σοι καὶ εἰρήνη παρὰ θεοῦ. Γινώσκεις, ὅτι οἱ τὰ πάντα καλῶς διαταξάμενοι ἱεροὶ πατέρες, καὶ μηδὲν ἐάσαντες ἐπὶ τοῖς ἐκκλησιαστικοῖς πράγμασι συγκεχυμένον καὶ ἀόριστον, καὶ τοῦτο ῥητῶς διὰ τῶν ἱερῶν κανόνων ὁρισάμενοι ἀπεφήναντο, τὸ μηδενὶ ἐξεῖναι τῶν ἁπανταχοῦ μητροπολιτῶν ἀρχιεπισκόπων τε καὶ ἐπισκόπων παραβαίνειν τὰ οἰκεῖα τῆς ἐπαρχίας ὅρια, καὶ ἐπεμβαίνειν ἐν ἀλλοτρίοις ὁμόροις, πολλαῖς ἀπειλαῖς τὴν τοιαύτην ἀτοπίαν συστειλάμενοι, ὡς πολλῶν σκανδάλων καὶ ζημιῶν παραίτιον. Οὐκ οἴδαμεν ὅμως πῶς ἀγνοήσασα ἡ θεοφιλεία σου τὸν περιβόητον συνοδικὸν κανόνα, ἐτόλμησας ὑπερπηδῆσαι καὶ καταπατῆσαι τὴν Τρίπολιν, ὑπὸ ἑτέρου δεσποτείαν οὖσαν καὶ διαφέντευσιν. Ὁ γὰρ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Νεκτάριος, παραστὰς ἐπὶ συνόδου, ἐκίνησε τοιαύτην ἀγωγὴν κατὰ σοῦ ἐγκαλέσας σε, ὅτι τοσοῦτον ἐθρανσύνθης ἀναιδῶς, ὡς ἰδίᾳ σου ἐξουσίᾳ ὤθου ἱερεῖς εἰς τὴν Τρίπολιν, καὶ εἰς τὰ ὑποκείμενα χωρία αὐτῆς, ἐπὶ τῷ ψάλλειν ἐν αὐταῖς, οἵτινες συνάγοντες παραλαμβάνουσι τὰ ἐκκλησιαστικὰ δικαιώματα· τὸ δὲ χεῖρον, καὶ παρανο-

μώτατον ἐκφωνοῦσι καὶ τὸ μνημόσυνόν σου παῤῥησίᾳ, ἐρωτώμενος δὲ περὶ τοῦ παρανομωτάτου τολμήματος, ἀποκρίνεσαι αὐθαδῶς, ὅτι οἱ ἱερεῖς αὐτοὶ καὶ οἱ λοιποὶ χριστιανοὶ ὑπάρχουσιν ὑπουργοὶ τῶν μετάλλων, ἥτις ἀπόκρισις οὐδεμίαν ἔχει δικαιολογίαν, καὶ τῇ παραλόγῳ ἀποκρίσει ταύτῃ ἐξέκλινας εἰς τοσαύτην ἀτοπίαν, ὥστε ἐξαπλῶσαι χεῖρας εἰς ἀλλοτρίαν ἐπαρχίαν, καὶ καταπατῆσαι αὐτὴν ὡς ληστὴς, καὶ ἀθετῆσαι ὅρους καὶ νόμους. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν, καὶ συλλειτουργῶν, καὶ ἐπιτάττομέν σοι, ἵνα, ἅμα τῷ ἰδεῖν σε τὸ παρὸν, εἴτε ἐν γνώσει εἰργάσω τὴν πάντολμον αὐθάδειαν, εἴτε ἐν ἀγνοίᾳ, ἀποχὴν ποιήσῃς τῶν ἐκκλησιῶν τῆς Τριπόλεως, καὶ τῶν χωρίων, καὶ ἄρῃς ἐκ μέσου τὴν πρόφασιν τοῦ μετάλλου, ἐκβαλὼν τοὺς ἱερεῖς σου τῆς ἐπιστασίας ἐκείνης, καὶ μηκέτι προσθεὶς περικρατῆναι τὸ ἀπαίσιον τοῦτο ἐπιχείρημα, ὡς μηδεμίαν ἔχων μετοχὴν εἰς Τρίπολιν αὐτὴν, καὶ εἰς τὰ χωρία αὐτῆς, ποίμνιον οὖσαν ἑτέρου ποιμένος, οὔτε προβάλῃς αἰτίαν μετάλλου. Ἂν δ᾽ ἄλλως ποιήσῃς, παρακούσας τῆς συνοδικῆς ταύτης ἀποφάσεως, ὡς αὐτοκέφαλος, καὶ παρήκοος, μένε ἀργὸς πάσης ἀρχιερατικῆς ἐνεργείας, καὶ τάξεως· καὶ τοῦτο τό γε νῦν ἔχον διὰ φιλανθρωπίαν· μείζονος γὰρ ἐδεῖτο παιδείας τὸ παράπτωμά σου· καὶ ἐστερημένος παντὸς ἐκκλησιαστικοῦ εἰσοδήματος, καὶ δικαιώματος, παρ᾽ οὐδενὸς συμφορούμενος, ἢ συλλειτουργούμενος, ἢ εἰσόδημα ἐκκλησιαστικὸν παρεχόμενος, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ. Ἀλλὰ καὶ ὅποιοι ἱερεῖς, ἢ λαϊκοὶ, νέοι, ἢ γέροντες, τολμήσουσι φανῆναι ἀπειθεῖς εἰς τὴν συνοδικὴν, καὶ νόμιμον ἀπόφασιν ταύτην, καὶ ἢ ἀμέσως, ἢ ἐμμέσως, ἢ διὰ δυναστείας, ἢ ἐξωτερικῆς προσταγῆς ἐκτελέσωσιν ἐκκλησιαστικόν τι ὑπούργημα, ἢ διακρατήσωσι τὰ ἀνήκοντα ἐκκλησιαστικὰ εἰσοδήματα, καὶ δικαιώματα τῆς Τριπόλεως, τῷ ἱερωτάτῳ μητροπολίτῃ Τραπεζοῦντος ἀνήκοντα, ὡς ἀνευλαβεῖς καὶ ἀναίσθητοι, ἱερεῖς μὲν ὄντες ἀργοὶ μενέτωσαν πάσης ἱεροπραξίας, καὶ ἐστερημένοι τῶν ἐνοριῶν αὐτῶν, καὶ ταῖς ἀραῖς τῶν οἰκουμενικῶν συνόδων ὑπόδικοι· λαϊκοὶ δὲ ἀφωρισμένοι ἀπὸ Θεοῦ παντοκράτορος, καὶ κατηραμένοι, καὶ ἀσυγχώρητοι, καὶ ἄλυτοι μετὰ θάνατον· αἱ πέτραι καὶ ὁ σίδηρος λυθήσονται, αὐτοὶ δὲ οὐδαμῶς, ἡ μερὶς αὐτῶν εἴη μετὰ τοῦ Ἰούδα, καὶ προκοπὴν οὐ μὴ

ἴδωσιν, ἔχοντες καὶ τὰς ἀρὰς τῶν τριακοσίων δέκα καὶ ὀκτῶ Θεοφόρων πατέρων, τῶν ἐν Νικαίᾳ, καὶ τῶν λοιπῶν ἁγίων συνόδων, καὶ ἔξω τῆς Χριστοῦ Ἐκκλησίας· οὕτω γενέσθω, καὶ μὴ ἄλλως ἐξ ἀποφάσεως.

,αψδ'. Ἰνδ. β'. ἐν μηνὶ Αὐγούστου.

† Ὁ Ἐφέσου ΠΑΡΘΕΝΙΟΣ.
† Ὁ Ἡρακλείας καὶ Ῥεδαιστοῦ ΝΕΟΦΥΤΟΣ.
† Ὁ Κυζίκου ΚΥΡΙΛΛΟΣ.
† Ὁ Νικομηδείας ΠΑΡΘΕΝΙΟΣ.
† Ὁ Χαλκηδόνος ΚΩΝΣΤΑΝΤΙΟΣ.

ΚΥΠΡΙΑΝΟΣ

ΕΛΕΩ ΘΕΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ κτλ.

Τῶν ἀναγκαιοτάτων ἐστὶν ἑκάστης ἐπαρχίας τὰ δίκαια σώζεσθαι, καὶ διατηρεῖσθαι ἀπαράτρεπτα, καὶ ἀπαρασάλευτα, καθὼς τῇ ἐκκλησιαστικῇ θεσμοθεσίᾳ, καὶ τοῖς ἱεροῖς καὶ θείοις κανόσι τῶν οἰκουμενικῶν συνόδων νενομοθέτηται· ἄλλως γὰρ τὸ παροράσθαι ὀλιγώρως τὰ τῶν ἐπαρχιῶν δίκαια, προφανῶς ἀδικεῖσθαί ἐστιν ἐκείνας, ἔξω τῶν ἱερῶν κανόνων, καὶ νόμων· τὸ δ' αὖ ἀδικουμένας παραβλέπειν αὐτὰς, οὐ μικρὸν πάντως ὑπάρχει πλημμέλημα καὶ σχεδὸν ἀσύγγνωστον· τὸ γὰρ ἄδικον οὐκ εὐλογεῖταί ποτε, οὔτε μὴν συγχώρησιν ἐπιδέχεται ἀδιόρθωτον ἐπιμεῖναν. Ἔνθεν τοι πρὸς τοῖς ἄλλοις τῶν ἐκκλησιαστικῶν, καὶ νομίμων πραγμάτων, καὶ ὑποθέσεων, ὧν τὴν φροντίδα ἐπάναγκες ἔχειν τὸν κατὰ καιροὺς οἰκουμενικὸν πατριάρχην, καὶ τοῦτο δέπου μετὰ πάσης ἐπιμελείας σπουδάζεται, τὸ ἀνακαλεῖσθαι ἀεὶ δηλαδὴ πρὸς τὴν ἀρχαίαν τάξιν τε, καὶ κατάστασιν εὐλόγοις τρόποις, εἴ τινά ποτε ταύτης παραλόγως ἐξεποιήθησαν καιρικαῖς τισι περιπετείαις, ἢ ἐπηρείαις ἀκαθέκτων ἠθῶν, ἢ ὡς ῥαθυμίαις προϊσταμένων τινων, καὶ παντοίαις ἄλλαις ἀμελίαις καὶ περιστάσεσιν ἄλλο πρὸς ἄλλο μεταφέρειν πεφυκυίαις τὰ πράγματα· ὀφειλόμενον καὶ γάρ ἐστι μάλιστα τοῖς ἐκκλησιαστικοῖς προστάταις, καὶ κηδεμόσι κατὰ λόγον ἀπαραίτητον, καὶ ἀποκαθιστᾷν διηνεκῶς τὸ δίκαιον εἰς τὸν τόπον αὐτοῦ. Ἐπειδὴ τοιγαροῦν καὶ τὰ καλούμενα χωρία τοῦ γκιουρτουνίου,

σουμουτλῆ δηλονότι, δέσμενα, γαργάενα, καὶ λοιπὰ σὺν αὐτοῖς μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἐνοριακὰ ἦσαν τῆς Κερασοῦντος, μητροπόλεώς τε οὔσης τὴν ἀρχὴν, καὶ εἰς πατριαρχικὴν ἐξαρχίαν ὕστερον μεταπεσούσης, ὡς καὶ οἱ τῆς Κερασοῦντος, καὶ ἐν ἐκείνοις τοῖς χωρίοις χριστιανοὶ διὰ κοινῆς αὐτῶν ἀναφορᾶς ταῖς ὑπογραφαῖς, καὶ σφραγίσιν αὐτῶν κατησφαλισμένης ἐδηλοποίησαν ὑμῖν· ἀνθ' ὅτου καὶ οἱ τὴν ἐπιστασίαν ταύτης τῆς Κερασοῦντος ἐξαρχικῶς κατὰ καιροὺς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ εἰρημένα χωρία τοῦ γκιουρτουνίου συνάγοντες τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ δικαιώματα· μετέπειτα δὲ πρὸ ὀλίγων χρόνων ἑνωθείσης τῆς αὐτῆς πατριαρχικῆς ἐξαρχίας Κερασοῦντος τῇ ἁγιωτάτῃ μητροπόλει Τραπεζοῦντος συνοδικῇ ἐπικρίσει, καὶ ἀποφάσει, ἐγένοντο καὶ τὰ προῤῥηθέντα χωρία ταύτης ἐνοριακὰ, καὶ ὑποκείμενα τῇ αὐτῇ μητροπόλει Τραπεζοῦντος, ἐπιστατούμενα, καὶ διοικούμενα ὑπὸ τοῦ κατὰ τόπον ἀρχιερέως, ἱερωτάτου φημὶ μητροπολίτου Τραπεζοῦντος, συνάγοντος κατ' ἔτος τὰ ἐκκλησιαστικὰ τῶν αὐτῶν χωρίων εἰσοδήματα, ὡς καὶ τῶν λοιπῶν χωρίων τῆς αὐτοῦ μητροπόλεως· ἀλλ' ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος οὐκ οἶδ' ὅπως φιλοχρηματίας ἡττηθεὶς ἐπώλησε τὰ διαληφθέντα χωρία τοῦ γκιουρτουνίου πρὸς τὸν θεοφιλέστατον ἀρχιεπίσκοπον Χαλδίας καὶ χαιριάνων κὺρ φιλόθεον διὰ γρόσια ἑκατὸν τριάκοντα, πρᾶγμα τολμήσας ποιῆσαι ἄτοπον, καὶ παράλογον πάντῃ, καὶ τοῖς ἱεροῖς κανόσιν ἀντίθετον· τὰ γὰρ κτήματα, καὶ ἀφιερώματα τὰ ἐκκλησιαστικὰ, καὶ ἐπισκοπικὰ οὔτε πωλοῦνται, οὔτε ἀγοράζονται, οὔτε ἀποξενοῦνται, οὔτε ἀλλοτριοῦνται τῆς ἰδίας τάξεως μέχρι καὶ τῶν μικροτέρων· ἄλλως γὰρ καὶ ὁ πωλῶν καὶ ὁ ἀγοράζων μάταια καὶ κενὰ μετέρχονται, καὶ χωρὶς γνώσεως πραγματεύονται τὴν πρᾶσιν, καὶ ἀγορασίαν, κατὰ τὸ λεγόμενον ὁ μὴ ἔχων ἐπώλει, καὶ ὁ μὴ φρονῶν ἠγόραζεν· ὁ γὰρ ἐπίσκοπος ἐπιτηρητὴς, καὶ ἐπιστάτης ἐστὶ τῶν ἐκκλησιαστικῶν πραγμάτων, καὶ κτημάτων, ἀλλ' οὐχὶ πωλητής· οὐ γὰρ ἴδιόν ἐστιν αὐτοῦ τὸ κτῆμα, ἀλλὰ τῆς ἐπαρχίας ἀφιερωμένον Θεῷ καὶ ἀναπόσπαστον· καὶ ἐξουσιάζει μὲν αὐτὸ ὁ ἐπίσκοπος κατὰ χρῆσιν πρὸς αὔξησιν, καὶ βελτίωσιν, καὶ διαμονὴν, οὐκ ἔχει δὲ ἄδειαν μήτε πωλῆσαι τὰ ἐπισκοπικὰ, μήτε χαρίσασθαί τινι, μήτε ἀποξενῶσαι κατ' οὐδένα τρόπον· καὶ ὅστις ὀψέποτε φανῇ τοιοῦτος παραβάτης

τῆς ἐκκλησιαστικῆς τάξεως καὶ ἐπιχειρήσῃ ἀπεμπωλῆσαι, ἢ κατά τινα τρόπον ἐκποιῆσαι, καὶ ἀποξενῶσαί τι τῶν ὑποκειμένων τῇ ἐπισκοπῇ, καταδικάζεται μεγάλως, ὡς ἱερόσυλος, καὶ κατησχυμένος ἀποπέμπεται ἐκπίπτων τῆς ἀξίας, καὶ ἡ πρᾶσις μένει ἄκυρος, καὶ ἀνυπόστατος, κατὰ τὸν ιβ´ κανόνα τῆς ἁγίας, καὶ οἰκουμενικῆς ἑβδόμης συνόδου ῥητῶς περὶ τούτου ἀποφαινόμενον· ἐπίσκοπος ἐκποιῶν τι τῶν εὐπροσόδων αὐτουργιῶν τῆς ἐπισκοπῆς, ἐκδιωκέσθω, καὶ ἡ πρᾶσις ἄκυρος μενέτω· τὰ νῦν δὲ ὁ ἱερώτατος μητροπολίτης Τραπεζοῦντος ὑπέρτιμος, καὶ ἔξαρχος πάσης Λαζικῆς, ὁ ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Παΐσιος, οὗτινος τῇ μητροπόλει ἥνωται ἡ Κερασοῦς μετὰ πάντων τῶν αὐτῆς χωρίων· παραστὰς ἐπὶ συνόδου, καὶ προσκλαιόμενος ἀνήγγειλε τὴν παράλογον, καὶ παρὰ κανόνας δεσποτείαν, καὶ ἐξουσίαν τοῦ θεοφιλεστάτου ἀρχιεπισκόπου Χαλδίας καὶ χαιριάνων κὺρ φιλοθέου, ἣν ἔχει ἐν τοῖς εἰρημένοις τοῦ γκιουρτουνίου, καὶ ἠξίωσε τὴν ἡμῶν μετριότητα, καὶ τὴν ἱερὰν σύνοδον ἐπὶ τῷ ἀνακληθῆναι τὸ δίκαιον εἰς τὸν τόπον αὐτοῦ, καὶ ἀποκατασταθῆναι πάλιν τὰ χωρία τοῦ γκιουρτουνίου εἰς τὴν προτέραν αὐτῶν τάξιν, καὶ κατάστασιν καθὼς καὶ οἱ ἱεροὶ κανόνες διακελεύονται· καὶ δὴ τὴν αἴτησιν αὐτοῦ ἔλλογον καὶ δικαίαν οὖσαν, καὶ τοῖς ἱεροῖς κανόσι συνάδουσαν ἀποδεξάμενοι προσηνῶς, κατὰ τὸ ἀπαραίτητον ἐν ἡμῖν χρέος (ὅπερ ἔχομεν ἐπὶ τῶν ἁπανταχοῦ παροικιῶν, καὶ ἐπαρχιῶν, καὶ τὸ δίκαιον πάντων τῶν ἄλλων ἐπίπροσθεν ἄγοντες κατενεύσαμεν γενέσθαι τὸ ποιητέον, κατὰ (. . . . .) καὶ δὴ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱεροτάτων μητροπολιτῶν, καὶ ὑπερτίμων, ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν καὶ συλλειτουργῶν (. . . . .) τάτη πρᾶσις, ἣν πεποίηκεν ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος κακῶς, καὶ παρανόμως τῶν λεχθέντων χωρίων τοῦ γκιουρτουνίου καὶ λοιπῶν μαντενίων πρὸς τὸν ἀρχιεπίσκοπον Χαλδίας καὶ χαιριάνων κὺρ Φιλόθεον, ὑπάρχει ἄκυρος τελείως καὶ ἀπόβλητος, καὶ λελυμένη, καὶ εἰς οὐδὲν λογιζομένη, καὶ ὁ κὺρ Φιλόθεος Χαλδίας καὶ χαιριάνων ἀπέχῃ τῆς διακατοχῆς, καὶ κυριεύσεως, καὶ ἐξουσίας τῶν ῥηθέντων χωρίων τοῦ γκιουρτουνίου, ὡς ἀμέτοχος τούτων, καὶ ξένος, καὶ ἀλλότριος· τὰ δὲ χωρία ταῦτα μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, ὡς καὶ τὰ λοιπὰ πάντα τῆς Κερασοῦντος ὑπάρχωσιν ὑπὸ τὴν ἐξουσίαν, καὶ δεσποτείαν τοῦ τε νῦν

ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Παϊσίου, καὶ τῶν μετ᾽ αὐτὸν μελλόντων χρηματίσαι ἀρχιερέων ἐν τῇ μητροπόλει Τραπεζοῦντος· καὶ μόνος ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος δεσπόζῃ, καὶ κυριεύῃ τούτων, ὡς ἐνοριακῶν κτημάτων τῆς μητροπόλεως αὐτοῦ καρπούμενος, καὶ νεμόμενος τὸ παρ᾽ αὐτῶν εἰσόδημα, κατὰ τὴν κανονικὴν τάξιν, καὶ νομοθεσίαν τῆς ἐκκλησίας ἀναφαιρέτως, καὶ ἀναποσπάστως· τοῖς δ᾽ εὑρισκομένοις ἐν τοῖς χωρίοις τούτοις τοῦ γκιουρτουνίου, ἱερωμένοις καὶ λοιποῖς χριστιανοῖς ἐντελλόμεθα, ἵνα τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος κὺρ Παΐσιον γινώσκωσιν ἀρχιερέα, καὶ προστάτην αὐτῶν καὶ πνευματικὸν ποιμένα, καὶ μνημονεύωσι τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς εὐλογοῦντα, καὶ ἁγιάζοντα αὐτούς, καὶ ποιμένοντα πνευματικῶς, καὶ διεξάγοντα ἀρχιερατικῶς, καὶ τιμῶσι, καὶ ἀγαπῶσιν αὐτόν, καὶ πείθωνται, καὶ ὑποτάσσωνται κατὰ τὸ πρέπον, καὶ δίκαιον, παρέχοντες τῇ αὐτοῦ ἱερότητι εἰρηνικῶς, καὶ εὐπειθῶς τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, συνοικέσια, πανηγύρεις, ζητίας, καὶ εἴτι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου αὐτῷ, ἢ ἀντιλέγοντος, ἢ παρεμποδίζοντος ἱερωμένου, ἢ λαϊκοῦ ἐξ ἀποφάσεως· ὃς δ᾽ ἂν κακοβούλως διανοηθῇ παραβλέψαι, καὶ ἀθετῆσαι τὴν συνοδικήν, καὶ κανονικὴν ἡμῶν ἀπόφασιν ταύτην, καὶ ἄλλως ποιῆσαι παρὰ τὰ ἐν τῷ παρόντι γεγραμμένα, καὶ ἀποσπάσει τὰ χωρία τοῦ γκιουρτουνίου τῆς δεσποτείας τοῦ μητροπολίτου τραπεζοῦντος, ὁ τοιοῦτος, ὡς ἀπ᾽ ἐναντίας φερόμενος τῆς ἐκκλησιαστικῆς, καὶ κανονικῆς διατάξεως, ἀφωρισμένος εἴη ἀπὸ θεοῦ κυρίου παντοκράτορος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ ἄλυτος μετὰ θάνατον, καὶ προκοπὴν οὐ μὴ ἴδοι πώποτε, καὶ ταῖς πατρικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος. Ὅθεν εἰς ἔνδειξιν, καὶ διηνεκῆ ἀσφάλειαν ἀπελύθη καὶ τὸ πάρὸν πατριαρχικὸν συνοδικὸν τοῦτο γραμμα ἐπιβραβευθὲν τῇ ἁγιωτάτῃ μητροπόλει τραπεζοῦντος.

,αψη΄ (ἐπινεμήσεως α^η ἰδιόχειρος).

(Ἕπονται ἑπτὰ ὑπογραφαὶ ἀρχιερέων).

Παρὰ ταύτην ἀπεστάλη καὶ ἡ παρὰ πόδας τοῖς χωρίοις.

ΚΥΠΡΙΑΝΟΣ

ΕΛΕῼ ΘΕΟΥ κτλ.

Εὐλαβέστατοι ἱερεῖς, καὶ ὁσιώτατοι ἱερομόναχοι, χρήσιμοί τε γέροντες καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ τῶν ὑποκειμένων τῇ Κερασοῦντι ταυτὸν εἰπεῖν τῇ μητροπόλει Τραπεζοῦντος χωρίων τοῦ γκιουρτουνίου, σουμουκλῆ δηλαδὴ, δέσμενα, γαργάενα, καὶ τῶν λοιπῶν σὺν αὐτοῖς μαντενίων, τέκνα ἐν Κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν, καὶ εἰρήνη παρὰ Θεοῦ παντοκράτορος, καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· παρ' ἡμῶν δὲ εὐχὴ εὐλογία καὶ συγχώρησις. Τὴν κοινὴν ὑμῶν ἀναφορὰν, ταῖς ὑπογραφαῖς ὑμῶν καὶ βούλλαις κατησφαλισμένην ἐδεξάμεθα, διὰ τῆς ὁποίας δηλοποιεῖται, καὶ ἀναγγέλλετε ἡμῖν, ὅτι τὰ χωρία ἡμῶν ταῦτα τοῦ γκιουρτουνίου μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν, καὶ ἐξ ἀρχῆς ἦσαν ἐνοριακὰ τῆς Κερασοῦντος καὶ Τριπόλεως, τὸ ὁποῖον τοῦτο καὶ ἡμεῖς οὕτω γινώσκωμεν· μεταπεσούσης καὶ γὰρ τῆς αὐτῆς Κερασοῦντος ἐν ὑστέροις χρόνοις ἀπὸ μητροπόλεως εἰς πατριαρχικὴν ἐξαρχίαν, οἱ τὴν ἐπιστασίαν ταύτης κατὰ καιροὺς ἐξαρχικῶς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ χωρία ταῦτα τοῦ γκιουρτουνίου, συνάγοντες τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ εἰσοδήματα· πρὸ ὀλίγων δὲ χρόνων ἑνωθείσης τῆς Κερασοῦντος ταύτης τῇ μητροπόλει Τραπεζοῦντος, ἐγένοντο καὶ τὰ χωρία ταῦτα τοῦ γκιουρτουνίου ὑποκείμενα τῇ αὐτῇ μητροπόλει Τραπεζοῦντος, καὶ ὁ κατὰ καιροὺς μητροπολίτης Τραπεζοῦντος ἐδέσποζε τούτων, ὡς ἐνοριακῶν τῆς μητροπόλεως αὐτοῦ, συνάγων κατ' ἔτος τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα· ὕστερον δὲ οὐκ οἶδ' ὅπως ὁ τελευτήσας μητροπολίτης Τραπεζοῦντος Νεκτάριος διὰ φιλοχρηματίαν καὶ αἰσχροκέρδειαν ἐπώλησε ταῦτα τὰ χωρία κακῶς, καὶ παρανόμως πρὸς τὸν Θεοφιλέστατον ἀρχιεπίσκοπον Χαλδίας καὶ Χαιριάνων κὺρ Φιλόθεον, ὅπερ οὐκ εἶχεν ἐξουσίαν ποιῆσαι, καὶ ἀποξενῶσαι τὰ χωρία ταῦτα τῆς Κερασοῦντος, καὶ τῆς μητροπόλεως Τραπεζοῦντος· ἀνθ' ὅτου καὶ ἡ πώλησις αὕτη τῶν χωρίων αὐτῶν ὑπάρχει ἄκυρος καὶ ἀνυπόστατος, καὶ παρὰ κανόνας· κἀντεῦθεν ἀναγγείλαντος ἡμῖν συνοδικῶς τὴν ὑπόθεσιν ταύτην τοῦ ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Παϊσίου, ἐξεδόθη ἡμέτε-

ρον πατριαρχικὸν συνοδικὸν γράμμα ἀποφαινόμενον, ὅπως τὰ χωρία ταῦτα τοῦ γκιουρτουνίου ὑπάρχωσι πάλιν ὑπὸ τὴν δεσποτείαν, καὶ ἐξουσίαν τοῦ ἱερωτάτου μητροπολίτου Τραπεζοῦντος κὺρ Παϊσίου, ὁ δὲ κὺρ Φιλόθεος ἀρχιεπίσκοπος Χαλδίας καὶ Χαιριάνων μακρὰν ἀπέχῃ τῆς διακατοχῆς, καὶ κυριεύσεως, καὶ ἐξουσίας τῶν αὐτῶν χωρίων, ὡς ξένος καὶ ἀλλότριος, καὶ μηδεμίαν μετοχὴν ἔχων ἐν τούτοις τοῖς χωρίοις· τούτου χάριν γράφομεν καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα πάντες ὑμεῖς οἱ χριστιανοὶ τῶν χωρίων τούτων τοῦ Γκιουρτουνίου, ἱερωμένοι. καὶ λαϊκοί, τὸν ἱερώτατον μητροπολίτην Τραπεζοῦντος, ὑπέρτιμον, καὶ ἔξαρχον πάσης Λαζικῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸν ἡμῶν ἀδελφὸν καὶ συλλειτουργὸν κὺρ Παΐσιον γινώσκητε ἀρχιερέα ὑμῶν, καὶ πνευματικὸν ποιμένα, καὶ προστάτην, καὶ μνημονεύετε τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, εὐλογοῦντα, καὶ ἁγιάζοντα ὑμᾶς, καὶ ποιμαίνοντα, καὶ διεξάγοντα ἀρχιερατικῶς, καὶ τιμᾶτε, καὶ ἀγαπᾶτε αὐτόν, καὶ διευλαβῆσθε, καὶ πείθησθε, καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον, καὶ δίκαιον, παρέχοντες τῇ αὐτῇ ἱερότητι εἰρηνικῶς, καὶ εὐπειθῶς τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικά, συνοικέσια, πανηγύρεις, ζητίας, καὶ εἴτι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου, ἢ ἀντιλέγοντος αὐτῷ, ἢ παρεμποδίζοντος ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας, καὶ ἀλύτου ἀφορισμοῦ· οὕτω γενέσθω ἐξ ἀποφάσεως, ἡ δὲ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ἡμῶν.

,αψη΄. Ἰνδικτιῶνος ά.

(Ἕπονται ἑπτὰ ἀρχιερέων ὑπογραφαί.)

Τὴν προειρημένην πρᾶξιν τοῦ πατριάρχου Κυπριανοῦ ἐπεκύρωσε διὰ τοῦ παρὰ πόδας νέου συνοδικοῦ ὁ ἐκείνου διάδοχος πατριάρχης Παΐσιος. Ἰδοὺ τὸ συνοδικόν.

ΠΑΪΣΙΟΣ

ΕΛΕῼ ΘΕΟΥ κτλ.

Εὐλαβέστατοι ἱερεῖς, καὶ ὁσιώτατοι ἱερομόναχοι, χρήσιμοί τε γέροντες, καὶ λοιποὶ πάντες εὐλογημένοι χριστιανοὶ τῶν ὑποκειμέ-

νων τῇ Κερασοῦντι ταὐτὸν εἰπεῖν τῇ μητροπόλει τραπεζοῦντος χωρίων τοῦ γκιουρτουνίου, σουμοκλὶ δηλαδὴ, δέσμενα, γαργάενα, καὶ τῶν λοιπῶν σὺν αὐτοῖς μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν, καὶ εἰρήνη, καὶ ἔλεος παρὰ Θεοῦ παντοκράτορος, καὶ κυρίου ἡμῶν Ἰησοῦ Χριςοῦ, παρ᾽ ἡμῶν δὲ εὐχὴ, εὐλογία καὶ συγχώρησις. Ἐπειδὴ προσεκομίσθησαν ἤδη, καὶ ἐνεφανίσθησαν τῇ ἡμῶν μετριότητι συνοδικῶς προκαθημένῃ γράμματα πατριαρχικὰ συνοδικὰ προεκδοθέντα ἐπὶ τοῦ προχρηματίσαντος ἀοιδίμου πατριάρχου κὺρ Κυπριανοῦ, καὶ διαλαμβάνοντα, ὅτι τὰ χωρία ὑμῶν ταῦτα τοῦ γκιουρτουνίου μετὰ τῶν ἐν αὐτοῖς μαντενίων ἄνωθεν καὶ ἐξ ἀρχῆς ἦσαν ἐνοριακὰ τῆς Κερασοῦντος, ὁποῦ ἦτον μητρόπολις τὴν ἀρχὴν, καὶ ἐν ὑστέροις τοῖς χρόνοις μετέπεσεν ἀπὸ μητροπόλεως εἰς πατριαρχικὴν ἐξαρχίαν, καὶ διὰ τοῦτο οἱ τὴν ἐπιστασίαν ταύτην ἐξαρχικῶς κατὰ καιροὺς λαμβάνοντες εἶχον ὑπὸ τὴν ἐπίσκεψιν αὐτῶν καὶ τὰ χωρία ταῦτα τοῦ γκιουρτουνίου συνάγοντες τὰ ἐτήσια αὐτῶν ἐκκλησιαστικὰ εἰσοδήματα· ἀλλὰ πρὸ ὀλίγων χρόνων τότε ἑνωθείσης τῆς Κερασοῦντος ταύτης τῇ μητροπόλει τραπεζοῦντος, ἐγένοντο καὶ τὰ χωρία ταῦτα τοῦ γκιουρτουνίου ὑποκείμενα τῇ αὐτῇ μητροπόλει τραπεζοῦντος, καὶ ὁ κατὰ καιροὺς μητροπολίτης τραπεζοῦντος ἐδέσποζε τούτων, ὡς ἐνοριακῶν τῆς μητροπόλεως αὐτοῦ, συνάγων κατ᾽ ἔτος τὰ ἐκκλησιαστικὰ αὐτῶν δικαιώματα· μετὰ δὲ ταῦτα ὁ τελευτήσας μητροπολίτης τραπεζοῦντος νεκτάριος διὰ φιλοχρηματίαν, καὶ αἰσχροκέρδειαν ἐπώλησε ταῦτα τὰ χωρία κακῶς, καὶ παρανόμως πρὸς τὸν κατ᾽ ἐκείνου καιροῦ ἀρχιεπίσκοπον Χαλδίας καὶ Χαιριάνων φιλόθεον, πρᾶγμα τολμήσας ἄτοπον, καὶ παράλογον, καὶ ἔξω τῆς κανονικῆς θεσμοθεσίας· διότι τὰ κτίσματα, καὶ ἀφιερώματα τὰ ἐκκλησιαστικὰ, καὶ ἐπισκοπικὰ οὔτε πωλοῦνται, οὔτε ἀγοράζονται, οὔτε ἀποξενοῦνται, καὶ ἐξίστανται τῆς ἰδίας τάξεως μέχρι καὶ τῶν μικροτέρων, καὶ ὁ ἐπίσκοπος, καὶ κατὰ καιροὺς ἀρχιερεὺς εἶναι ἐπιστάτης, καὶ ἐπιτηρητὴς τῶν ἐκκλησιαστικῶν πραγμάτων καὶ κτημάτων, οὐ μὴν δὲ πωλητὴς, ἐπειδὴ καὶ δὲν εἶναι ἴδιον κτῆμα ἐδικόν του, ἀλλὰ τῆς ἐπαρχίας ἀναπόσπαστον· καὶ τὸ ἐξουσιάζει κατὰ χρῆσιν πρὸς αὔξησιν, καὶ βελτίωσιν, καὶ διαμονὴν, δὲν ἔχει δὲ ἄδειαν οὔτε πωλῆσαι, οὔτε χαρίσασθαι, οὔτε ἀποξενῶσαι αὐτὸ κατ᾽ οὐδένα τρόπον. Ὅθεν καὶ σταλθείσης

τότε κοινῆς ἀναφορᾶς παρὰ τῶν χριστιανῶν τῶν εἰρημένων χωρίων τοῦ γκιουρτουνίου κατεσφαλισμένης ὑπογραφαῖς καὶ σφραγίσι τῶν αὐτῶν χριστιανῶν πρὸς τὴν τοῦ Χριςοῦ μεγάλην ἐκλησίαν ἐπὶ τῶν ἡμερῶν τοῦ ῥηθέντος πατριάρχου κὺρ Κυπριανοῦ, καὶ φανερωθείσης τῆς ὑποθέσεως ταύτης περὶ τῶν αὐτῶν χωρίων κατὰ τὸν εἰρημένον τρόπον, ὅτιἄνωθεν μὲν ἐξ ἀρχῆς ἦσαν τῆς Κερασοῦντος, καὶ μετὰ τὸ ἑνωθῆναι αὐτὴν τῇ τραπεζοῦντι ἐγένοντο τῆς τραπεζοῦντος ἐνοριακὰ, καὶ ὅτι παραλόγως, καὶ παρὰ κανόνας ἀπεξενώθησαν τῆς αὐτῆς μητροπόλεως, καὶ ἐπωλήθησαν ὑπὸ τοῦ ῥηθέντος τραπεζουντίου νεκταρίου πρὸς τὸν διαληφθέντα χαλδίας φιλόθεον, ἡ μὲν πώλησις αὕτη, ὡς ἀσύστατος, καὶ παράλογος, καὶ ἐναντία τοῖς ἱεροῖς κανόσι ἀνῃρέθη, καὶ ἀνετράπη διὰ συνοδικῆς ἐκκλησιαστικῆς ἀποφάσεως, καὶ ἐγένετο ἄκυρος, καὶ ἀνυπόστατος, καὶ ἀνενέργητος· καὶ γὰρ ὁ μὴ ἔχων ἐπώλει, καὶ ὁ μὴ φρονῶν ἠγόραζε, καὶ μάταια, καὶ κενὰ ἐπραγματεύσαντο· αὐτὰ δὲ ταῦτα τὰ χωρία ἐδιωρίσθησαν, προσεκληρώθησάν τε, καὶ ἀπεδόθησαν ἔκτοτε συνοδικῇ διαγνώσει διὰ τῶν εἰρημένων πατριαρχικῶν καὶ συνοδικῶν γραμμάτων τῇ μητροπόλει τραπεζοῦντος, καὶ τῷ κατ᾽ ἐκεῖνο καιροῦ ἀρχιερεύοντι ἐν αὐτῇ Παϊσίῳ, καὶ ἔμενον, καὶ εὑρίσκοντο ὑπὸ τὴν δεσποτείαν, ἢ ἐξαυσίαν, καὶ ἐπίσκεψιν αὐτοῦ, ὡς ἐνοριακὰ, καὶ ὑποκείμενα τῆς μητροπόλεως αὐτοῦ ἀποδειχθέντα, χωρὶς νὰ ἔχῃ μετοχήν τινα ὅλως ἐν αὐτοῖς, καὶ ἐξουσίαν, καὶ κυριότητα ὁ ῥηθεὶς ἀρχιεπίσκοπος χαλδίας φιλόθεος, ὡς ξένος καὶ ἀλλότριος τῶν χωρίων ἀναδειχθείς· τὴν ὁποίαν ταύτην, ὡς εἴρηται, ἐκκλησιαστικὴν καὶ συνοδικὴν ἀπόφασιν, διὰ τῶν ἐμφανισθέντων ἡμῖν, ὡς εἴρηται πατριαρχικῶν, καὶ συνοδικῶν γραμμάτων περὶ τῶν διαληφθέντων χωρίων τοῦ γκιουρτουνίου εὔλογον, καὶ δικαίαν οὖσαν καὶ κατὰ κανόνας ἐκκλησιαστικοὺς γεγενημένην ἐδεήθη νὰ ἐπιβεβαιωθῇ καὶ παρ᾽ ἡμῶν τὰ νῦν ὁ ἤδη ἱερώτατος μητροπολίτης τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης λαζικῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ Ἀνανίας δι᾽ ἡμετέρου πατριαρχικοῦ συνοδικοῦ γράμματος, οὗτινος τὴν δέησιν εὔλογον καὶ δικαίαν οὖσαν εὐμενῶς ἀποδεξάμενοι, γράφομεν διὰ τοῦ παρόντος, καὶ ἀποφαινόμεθα συνοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων ἀρχιερέων, καὶ ὑπερτίμων τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ μὲν ῥηθέντα χωρία τοῦ γκιουρτουνίου,

σουμουκλὶ δηλαδὴ, δέσμενα, γαργάενα καὶ λοιπὰ μετὰ τῶν ἐν αὐτοῖς μαντενίων, ὡς ἐνοριακὰ, καὶ ὑποκείμενα ὑπάρχοντα, καὶ γεγονότα τῆς μητροπόλεως τραπεζοῦντος, μετὰ τὸ ἑνωθῆναι αὐτῇ τὴν ἐξαρχίαν τῆς Κερασοῦντος νὰ ἦναι καὶ εἰς τὸ ἑξῆς ὑπὸ τὴν ἐξουσίαν καὶ διοίκησιν τῆς αὐτῆς μητροπόλεως τραπεζοῦντος, καὶ τοῦ ἐν αὐτῇ ἀρχιερατεύοντος, ἀναπόσπαστα, καὶ ἀναφαίρετα, καὶ ἀνεκποίητα εἰς αἰῶνα τὸν ἅπαντα, χωρὶς νὰ ἔχῃ μετοχήν τινα ὅλως ἐν τοῖς χωρίοις τούτοις ὁ ἀρχιεπίσκοπος χαλδίας, ἢ νὰ τολμήσῃ πώποτε νὰ ἀντιποιῆται τῶν χωρίων αὐτῶν ἐπὶ τῇ παραλόγῳ καὶ παρανόμῳ προφάσει τῆς προγεγονυίας ἐκείνης παρὰ κανόνας ἀσυστάτου, καὶ ἀκύρου πωλήσεως· ἐσεῖς δὲ ἁπαξάπαντες οἱ χριςιανοὶ τῶν χωρίων τούτων, ἱερωμένοι καὶ λαϊκοὶ νὰ γινώσκετε ἀρχιερέα ὑμῶν καὶ πνευματικὸν ποιμένα, καὶ προστάτην τὸν ῥηθέντα ἱερώτατον μητροπολίτην τραπεζοῦντος καὶ συνάδελφον ἡμῶν κὺρ Ἀνανίαν, καὶ νὰ μνημονεύετε τοῦ κανονικοῦ αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, νὰ τιμᾶτε, καὶ ἀγαπᾶτε, καὶ διευλαβῆσθε, εὐλογοῦντα, καὶ ἁγιάζοντα ὑμᾶς, καὶ ποιμαίνοντα, καὶ διεξάγοντα ἀρχιερατικῶς, καὶ πείθησθε καὶ ὑποτάσσησθε αὐτῷ κατὰ τὸ πρέπον, καὶ δίκαιον, παρέχοντες τῇ αὐτοῦ ἱερότητι εἰρηνικῶς, καὶ εὐπειθῶς πάντα τὰ ἀνήκοντα ἐκκλησιαστικὰ δικαιώματα, κανονικὰ, συνοικήσεα, πανηγύρεις, ζητίας, καὶ εἴτι ἄλλο σύνηθες τῷ τόπῳ, μηδενὸς ἐναντιουμένου, ἢ ἀντιλέγοντος αὐτῷ, ἢ παρεμποδίζοντος ἱερωμένου, ἢ λαϊκοῦ, ἐν βάρει ἀργίας καὶ ἀλύτου ἀφορισμοῦ· ὅστις ἂν τολμήσῃ ποτὲ ἀθετῆσαι τὴν συνοδικὴν, καὶ κανονικὴν ἡμῶν ἀπόφασιν ταύτην, καὶ ἀποσπάσαι τὰ χωρία ταῦτα τῆς δικαιοδοσίας τραπεζοῦντος, ὁ τοιοῦτος, ὁποῖός ποτ' ἂν ᾖ, ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ παντοκράτορος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, καὶ ταῖς πατριαρχικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος· ὑμεῖς δὲ ποιήσετε ὡς γράφομεν, ἵνα καὶ ἡ τοῦ Θεοῦ χάρις εἴη μετὰ πάντων ὑμῶν.

αψλά. Ἰνδικτ. θ΄. αὐτόγραφος.

(Ἕπονται δεκατριῶν ἀρχιερέων ὑπογραφαί.)

Ἀλλ' αἱ ἀποφάσεις αὗται τῶν πατριαρχῶν δὲν ἔθηκαν τέλος εἰς τὰς διενέξεις· ὁ Χαλδίας ἐξηκολούθει πράγματα παρέχων καὶ μὴ ἀφιστάμενος τῶν χωρίων. Πλὴν δὲ τούτων τῶν ἐγγράφων ἀπηντή-

σαμεν ἐν τῷ κώδηκι τῆς μητροπολεως ἐπιστολὰς τοῦ Τραπεζοῦντος Παϊσίου τὴν μὲν πρὸς τὸν Χαλδίας Φιλόθεον, τὴν δὲ πρὸς τοὺς προκρίτους ἀρχιμεταλλεῖς Ἀργυροπόλεως μετὰ ταπεινότητος γεγραμμένας, καὶ ζητούσας, ἵνα ὁ ἀρχιερεὺς Χαλδίας κατέλθῃ εἰς μίαν τῶν τριῶν μονῶν ἢ καὶ εἰς Τραπεζοῦντα, καὶ ἀποφασίσωσιν εἰρηνικῶς ἐν διαιτητίᾳ τὴν διαφορὰν τῶν χωρίων· φέρουσι δὲ αἱ ἐπιστολαὶ χρονολογίαν ‚αψθ΄. μὴ εἰσακουσθέντος δὲ, μηδὲ θελήσαντος τοῦ Χαλδίας νὰ κατέλθῃ, ὡς ἐξάγεται ἐξ ἄλλης σωζομένης κοινῆς τῶν Τραπεζουντίων καὶ τῶν τριῶν μοναστηρίων ἀναφορᾶς προς τὴν μεγάλην ἐκκλησίαν, ἀλλ' ἐπαναπαυομένου ἐπὶ τῇ ἰσχύϊ, ἣν ἐξήσκει, ἐκινήθη παρὰ τοῦ Τραπεζοῦντος Παϊσίου ἡ ἀγωγὴ, σταλείσης καὶ τῆς προαναφερθείσης ἀναφορὰς τῶν Τραπεζουντίων τῷ 1710, καὶ ἐξεδόθη τοῦ τρομνημονευθέντος πατριάρχου Κυπριανοῦ ἡ ἀπόφασις καὶ ἔπειτα τοῦ πατριάρχου Παϊσίου. Ἀλλ' αἱ ἀποφάσεις τῶν πατριαρχῶν δὲν ἔδωκαν τέλος εἰς τὰς διενέξεις, ὥστε ἐπὶ Παϊσίου τὸ δεύτερον ἐπανελήφθη ἡ δίκη ἐπὶ ἀρχιερέως Τραπεζοῦντος Ἀνανίου τοῦ β΄.

Ἡ σύνοδος τότε ἐξέδωκε τάς δε τὰς ἀποφάσεις.

ΠΑΪΣΙΟΣ

ΕΛΕΩ ΘΕΟΥ κτλ.

Καὶ τόδε σὺν τοῖς ἄλλοις οὐχ ἧττον τοῦ χρησίμου τὸ ἀναγκαῖον πρόδηλον ἔσχηκε, τὰ προτυπωθέντα δηλαδὴ τῶν πατριαρχικῶν, καὶ συνοδικῶν ἐπ' εὐλόγοις αἰτίαις γραμμάτων ἐπικυροῦσθαι μετέπειτα καὶ τοῖς κατὰ καιροὺς μεταγενεστέρως πατριαρχεύουσι, καὶ τῶν οἰκουμενικῶν οἰάκων συντετηρημένως ἐχομένοις, ὀρθῶς τε, καὶ φιλευσεβῶς διοικεῖσθαι τὰ πάντα, καὶ ἀμεταπτώτως συντηρεῖσθαι φροντίζουσι, καὶ μηδὲν τῆς οἰκείας ἐξοικίζεσθαι στάσεώς τε, καὶ τάξεως, καὶ τοῦ δικαίου παραλόγως ἐκπίπτειν ἀνεχομένοις· εἰ γὰρ ὀλιγώρως οἱ μετέπειτα τοῖς φθάσασιν εἶχον, καὶ ἀμελῶς περὶ ἐκεῖνα διέκειντο, πάντως τὰ πάντα τῇ χρονικῇ παρατάσει λήθης ἐμπεσόντα βυθοῖς τάχιστ' ἂν ἐξηφάνιστο· ταῦτ' ἄρα ἀνάγκη πᾶσα τῶν φθασάντων τὴν ὑποχώρησιν τῶν ἐπιγεγονότων τὴν γένεσιν διαδέχεσθαι, καὶ τὴν σειρὰν οὑτωσίπως τῶν ὄντων φύσει, καὶ θέσει ἀδιακόπως τηρεῖσθαι, καὶ ἀδιάῤῥηκτον σώζεσθαι· συνάπτουσα γὰρ,

καὶ συῤῥάπτουσα τῶν ὄντων ἁπαξαπλῶς ἡ φύσις ᾀεί, καὶ συγκολλῶσα τῷ φθίνοντι τὸ φυόμενον, οὐκ ἀπολισθαίνειν εἰς τὸ μὴ εἶναι εἴωθεν.

Ἐπειδὴ τοίνυν προσεκομίσθη καὶ ἐνεφανίσθη ἡμῖν παλαιγενὲς συνοδικὸν σιγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου πατριάρχου κὺρ Καλλινίκου ἐκδοθὲν κατὰ τὸ χιλιοστὸν ἑξακοσιοστὸν ἐννενηκοστὸν ὄγδοον σωτήριον ἔτος, καὶ διαλαμβάνον, ὡς ὁ κατ' ἐκεῖνο καιροῦ ἐν τῇ ἐπαρχίᾳ Τραπεζοῦντος ἀρχιερατεύων ποτὲ Νεκτάριος διὰ τὰς συνεχῶς ἐπαγομένας αὐτῷ παρὰ τῶν κατὰ τόπον ἔξω κρατούντων ἐνοχλήσεις, καὶ ἐπηρείας ἐζήτησε θερμῶς παρὰ τῆς ἐκκλησίας, ὅπως ἡ ὁμοροῦσα, καὶ γειτνιῶσα τῇ ἐπαρχίᾳ τραπεζοῦντος κερασοῦς μετὰ πάντων τῶν ὑποκειμένων αὐτῇ χωρίων Τριπόλεως τε, κοράλου καὶ λοιπῶν μητρόπολις ἀνέκαθεν οὖσα, καὶ εἰς πατριαρχικὴν ἐξαρχίαν ἐν τοῖς ὑστέροις χρόνοις ἐξ ἀνάγκης μεταπεσοῦσα συναφθῇ, καὶ συνενωθῇ τῇ ἁγιωτάτῃ μητροπόλει τραπεζοῦντος, ἐπὶ τῷ ἔχειν αὐτὴν ἐν καιρῷ κατεπειγούσης ἀνάγκης ὡσανεὶ καταφύγιον, εἰς ἀπαλλαγὴν τῶν ἐπισυμβαινόντων αὐτῷ κατὰ τόπον δεινῶν, κἀντεῦθεν δέον ἐκρίθη συνοδικῶς ἔκτοτε συναρμοσθῆναι τε, καὶ προσκληρωθῆναι δι' ὅλου τὴν ἐξαρχίαν ταύτην Κερασοῦντος τῇ μητροπόλει τραπεζοῦντος, καὶ ἓν σῶμα μετ' αὐτῆς γενέσθαι, καὶ ἐπισκέπτεσθαι πνευματικῶς, καὶ νέμεσθαι ὑπὸ τοῦ κατὰ καιροὺς μητροπολίτου τραπεζοῦντος ὀφείλοντος παρέχειν μόνον τῷ κατὰ καιρὸν καθολικῷ πατριαρχικῷ αὐτῆς ἐξάρχῳ τὸ διωρισμένον ἐτήσιον, ἀνὰ τριάκοντα γρόσια δηλαδὴ καθ' ἕκαστον χρόνον, καθὼς τὸ αὐτὸ παλαιγενὲς ἐκκλησιαστικὸν σιγίλλιον διορίζει, καὶ ἀποφαίνεται. Προσηνέχθη δὲ ὁμοῦ καὶ ἐνεφανίσθη ἡμῖν καὶ ἡμέτερον πατριαρχικὸν συνοδικὸν γράμμα ἐκδοθὲν ἐπὶ τῆς πρώτης ἡμῶν πατριαρχείας, καὶ ἐπιβεβαιοῦν ἄλλα δύο παλαιγενῆ ἐκκλησιαστικὰ τοῦ ἀειμνήστου πατριάρχου κὺρ κυπριανοῦ γράμματα ἐμφανισθέντα ἡμῖν· τέως κᾀκεῖνα ὡσαύτως σὺν τοῖς λοιποῖς, ἐπικυροῦντα τε τὸ τοῦ ἀοιδίμου πατριάρχου κὺρ καλλινίκου προειρημένον συνοδικὸν σιγιλλιῶδες γράμμα, καὶ διαλαμβάνοντα, καὶ ἀποδεικνύοντα, καὶ βεβαιοῦντα ἐπάνω τῆς μητροπόλεως τραπεζοῦντος τὴν τοιαύτην προγεγενημένην μετ' αὐτῆς ἕνωσιν τῆς κερασοῦντος, ἥτις διετέλεσεν ἐπὶ πλείστοις ἔτεσιν ἐπισκεπτομένη, καὶ νεμομένη ὑπὸ τοῦ κατὰ καιροὺς μητροπολίτου τραπεζοῦντος. Ἀλλ' οὐκ οἴδαμεν ὅπως

πρὸ ὀλίγων ἤδη χρόνων παραλόγως ἀποσπασθεῖσα τε, καὶ ἀποξενωθεῖσα τῆς αὐτῆς μητροπόλεως, ἐδόθη παρὰ τοῦ καθολικοῦ αὐτῆς ἐξάρχου διὰ πατριαρχικοῦ γράμματος ὑπὸ τὴν ἐπιστασίαν καὶ διοίκησιν, τοῦ ἤδη ἀρχιερατεύοντος ἐν τῇ ἀρχιεπισκοπῇ Χαλδίας κὺρ ἰγνατίου. Ἔμπης ἤδη ὁ ἱερώτατος μητροπολίτης τραπεζοῦντος, ὑπέρτιμος καὶ ἔξαρχος πάσης λαζικῆς, ἐν ἁγίῳ πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς καὶ συλλειτουργὸς κὺρ ἀνανίας τὰ δίκαια τῆς ἐπαρχίας αὐτοῦ ταύτης κανονικῶς σώζεσθαι βουλόμενος παρέςη ἐπὶ τοῦ οἰκουμενικοῦ ἡμῶν κριτηρίου ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, καὶ πρὸς τοῖς εἰρημένοις ἐκκλησιαστικοῖς γράμμασιν ἐνεφάνισε καὶ νέαν ἐνσφράγιστον, καὶ ἐνυπόγραφον κοινὴν ἀναφορὰν τῶν χριστιανῶν συμπάσης τῆς κερασοῦντος συμφωνοῦσάν τε, καὶ συνᾴδουσαν τοῖς αὐτοῖς συνοδικοῖς γράμμασι, καὶ διαλαμβάνουσαν, ὡς ἐξ ὅτου ἡ Κερασοῦς αὕτη ἀπεσπάσθη παρὰ κανόνας τῆς μητροπόλεως Τραπεζοῦντος, καὶ ἐδόθη ὑπὸ τὴν ἐπίσκεψιν, καὶ διεξαγωγὴν τοῦ Χαλδίας, ἅτε μὴ τῆς προσηκούσης ἀρχιερατικῆς προστασίας, καὶ πνευματικῆς διοικήσεως ἀξιούμενοι παρ᾽ αὐτοῦ οἱ χριστιανοὶ οὗτοι, διά τε τὸ μῆκος τῆς ὁδοῦ, καὶ δι᾽ ἄλλας τινὰς εὐλόγους αἰτίας, ἐξέκλινάν τε οἱ πλείους αὐτῶν, καὶ ἐξετράπησαν τῆς εὐθείας ὁδοῦ, καὶ ἀπομαθόντες σχεδὸν τὰ θεῖα, καὶ ἐκκλησιαστικὰ, ὀκλάζουσι περί τε τὴν εὐσέβειαν, καὶ κατὰ ψυχὴν κινδυνεύουσι· διά τοι τοῦτο καὶ θερμῶς ἐδεήθησαν ἀποσπασθῆναι μὲν ἐκεῖθεν, ἑνωθῆναι δ᾽ αὖθις καὶ προσκωληθῆναι τῇ μητροπόλει τραπεζοῦντος, ὡς καὶ πρότερον· ἑπομένως οὖν καὶ ἡ ἀρχιερωσύνη αὐτοῦ ἀγωγὴν ἐκίνησε περὶ τοῦ εἰρημένου ἐνοριακοῦ αὐτοῦ δικαίου, θερμῶς σὺν αὐτοῖς δεηθεὶς ἐπικυρωθῆναί τε, καὶ ἐπιβεβαιωθῆναι διὰ συνοδικοῦ ὑμῶν ἐπιβεβαιωτηρίου σιγιλλιώδους γράμματος, ἀποκατασταθῆναί τε αὖθις καὶ προσκληρωθῆναι τῇ ἁγιωτάτῃ μητροπόλει αὐτοῦ ταύτῃ τραπεζοῦντος τὴν ἀδίκως, καὶ παραλόγως ἀφαιρεθεῖσάν τε, καὶ ἀποσπασθεῖσαν ἀπ᾽ αὐτῆς προειρημένην κερασοῦντα σὺν πάσῃ τῇ ὑποκειμένῃ αὐτῇ ἐνορίᾳ. Ἀνθ᾽ ὅτου δέον ἐκρίθη, καὶ ἀπεφάνθη κοινῇ συνοδικῇ ὑμῶν διαγνώσει, καὶ ἀποφάσει, κατὰ τὴν περίληψιν τῶν προειρημένων ἐκκλησιαστικῶν γραμμάτων, ἐφ᾽ ᾧ πέρας λαβεῖν τὴν εὔλογον, καὶ δικαίαν ταύτην αἴτησίν τε, καὶ ἀξίωσιν, καὶ ἀποκατασταθῆναι αὖθις τὸ ἐνοριακὸν τοῦτο δίκαιον εἰς τὸν τόπον αὐτοῦ, καὶ τὰ ὅσα περ ἔφθασαν ὁπωσδή πως ἐκδοθῆναι τῇ ἀρχιε-

πισκοπῇ Χαλδίας μεταγενέστερα ἐναντία πατριαρχικὰ καὶ συνοδικὰ γράμματα περὶ τῆς αὐτῆς ἐκκλησιαστικῆς ὑποθέσεως ἀκυρωθῆναι παντάπασι· τὸ γὰρ ἐξ ἀρχῆς ἀνυπόστατον οὐδὲ τῇ χρονίᾳ βεβαιοῦται παραδρομῇ, καθὼς ῥητῶς οἱ θεῖοι νόμοι διακελεύονται· ὑπὸ ἐπιστασίαν μέντοι καὶ διοίκησιν καθολικοῦ πατριαρχικοῦ ἐξάρχου τέως διατελούσης τῆς κερασοῦντος συμπάσης ταύτης κατὰ πατριαρχικὴν φιλοτιμίαν, τοῦ τιμιωτάτου δηλαδὴ καὶ σοφολογιωτάτου ἄρχοντος μεγάλου ἐκκλησιάρχου τῆς καθ' ἡμᾶς τοῦ Χριστοῦ μεγάλης ἐκκλησίας, καὶ καπικεχαγιᾶ τῆς ἐκλαμπροτάτης αὐθεντείας μολδοβλαχίας διδασκάλου κὺρ Κριτίου, ὀφείλει ὁ μητροπολίτης τραπεζοῦντος πληροῦν ἀπαραιτήτως κατ' ἔτος τῇ αὐτοῦ σοφολογιότητι τὸ εἰρημένον ἐτήσιον ἐφ' ὅρου ζωῆς αὐτῆς μηδεμίαν ἄλλην ἐξουσίαν ἐχούσης πωλῆσαι, ἢ χαρίσασθαί τινι συγγενεῖ ἢ ξένῳ ἐκείνην, ἀλλ' ἰδίως τε καὶ μονοπροσώπως περιγράφεσθαι, καὶ περικλείεσθαι, καὶ περιορίζεσθαι, καὶ ἀποπερατοῦσθαι τὴν τοιαύτην ἐξαρχιακὴν αὐτῆς δεσποτείαν, καὶ ἐπωνυμίαν, μετὰ δὲ τὴν ἀποβίωσιν τῆς αὐτοῦ σοφολογιότητος μένει ἀμέσως σύμπασα ἡ κερασοῦς αὕτη ἐλευθέρα πάντῃ τῆς ἐξαρχιακῆς ἐπωνυμίας τε, καὶ ἐξουσίας, συνημμένη τε, καὶ ὑποκειμένη τῇ μητροπόλει τραπεζοῦντος, ὡς καὶ πρότερον. Τούτου χάριν γράφοντες ἀποφαινόμεθα σονοδικῶς μετὰ τῶν περὶ ἡμᾶς ἱερωτάτων μητροπολιτῶν καὶ ὑπερτίμων, τῶν ἐν ἁγίῳ πνεύματι ἀγαπητῶν ἡμῶν ἀδελφῶν καὶ συλλειτουργῶν, ἵνα τὰ μὲν ὁπωσδήπως φθάσαντα ἐκδοθῆναι τῇ ἀρχιεπισκοπῇ Χαλδίας πατριαρχικὰ συνοδικὰ γράμματα περὶ τῆς τοιαύτης ἀδίκου τε, καὶ παραλόγου ἀντιποιήσεως, καὶ διακατοχῆς τῆς κερασοῦντος ταύτης ὑπάρχουσιν ἄκυρα πάντῃ καὶ ἀνίσχυρα, καὶ ἄπρακτα, καὶ ἀνενέργητα· τὰ γὰρ κακῶς κριθέντα, καὶ τυπωθέντα οὔτε νόμος, οὔτε χρόνος, οὔτε συνήθεια βεβαιοῖ, καθὼς ῥητῶς οἱ θεῖοι νόμοι φασίν· ἡ δὲ κερασοῦς αὕτη, καὶ πάντα τὰ ἀνέκαθεν ὑποκείμενα αὐτῇ χωρία, ἡ τρίπολις δηλαδὴ, τὸ κόραλον. καὶ τὰ λοιπὰ μετὰ πάντων τῶν ἐν αὐτοῖς τε, κἂν τοῖς ὁρίοις τῆς ἐπαρχίας τραπεζοῦντος εὑρισκομένων μαντενίων, ὡς ἀποδειχθέντα τε, καὶ μαρτυρηθέντα ἤδη γνήσια ἐνοριακὰ, καὶ πρὸ τοσούτων χρόνων συνημμένα τῇ μητροπόλει τραπεζοῦντος, κατὰ τὴν περίληψιν τῶν εἰρημένων πατριαρχικῶν συνοδικῶν βεβαιωτηρίων γραμμάτων ὀφειλόντων ἔχειν τὸ κῦρος, καὶ τὴν ἰσχὺν ἀμετάτρεπτον, καὶ ἀμεταποίητον

κατὰ πάντα καιρὸν, καὶ ἐν παντὶ δικαιοσύνης κριτηρίῳ, μένωσι τὸ ἀπὸ τοῦδε, καὶ εἰς τὸν ἐφεξῆς ἅπαντα αἰῶνα κατὰ πάντα δικαίου λόγον σκηνωμένα τε, καὶ προσκεκληρωμένα καὶ ὑποκείμενα τῇ μητροπόλει ταύτῃ τραπεζοῦντος ἀναφαιρέτως, καὶ ἀναποσπάςως, καὶ εἴησαν, καὶ λέγωνται, καὶ παρὰ πάντων γινώσκωνται ἐνοριακὰ τῆς αὐτῆς μητροπόλεως, καὶ ὡς μέρη αὐτῆς γνήσια πρὸς τὸ ὅλον ἀναφερόμενα, καὶ μόνος ὅ,τε ἤδη προῤῥηθεὶς ἱερώτατος μητροπολίτης τραπεζοῦντος καὶ συνάδελφος ἡμῶν κὺρ Ἀνανίας, καὶ οἱ μετὰ τοῦτον ἐν τῇ αὐτῇ ἐπαρχίᾳ ἀρχιερατεύσαντες ἔχωσιν ἐκεῖνα πάντα ὑπὸ τὴν ἐξουσίαν, καὶ δεσποτείαν αὐτῶν, καὶ ἀρχιερατικὴν προςασίαν, καὶ πνευματικὴν ἐπίσκεψιν, καὶ διοίκησιν, καὶ νέμωνται εὐλόγως, καὶ σὺν τῷ δικαίῳ, πάντα τὰ ἐξ ἐκείνων συνήθη ἐκκλησιαστικὰ δικαιώματα σῶα, καὶ ἀνελλειπῆ ἐξ ἀποφάσεως, εὐλογοῦντες, καὶ ἁγιάζοντες ἀρχιερατικῶς πάντας τοὺς ἐκεῖσε χριστιανοὺς, καὶ πάντα τὰ ἀρχιερατικὰ ἐκτελοῦντες, ὡς νενόμισται, καθὼς καὶ ἐν τῇ λοιπῇ ἐπαρχίᾳ ταύτῃ, ὀφείλοντος τοῦ κατὰ τόπον ἀρχιερέως τραπεζοῦντος παρέχειν τὸ διωρισμένον ἐτήσιον ἀνὰ τριάκοντα γρόσια καθ' ἕκαστον χρόνον πρὸς μόνον τὸν ἤδη καθολικὸν ἔξαρχον προειρημένον διδάσκαλον ἄρχοντα κὺρ Κριτίαν ἐφ' ὅρῳ ζωῆς αὐτοῦ, ὡς εἴρηται· μετὰ δὲ τὴν τούτου ἀποβίωσιν ὀφείλει ὁ κατὰ καιροὺς μητροπολίτης τραπεζοῦντος πληροῦν ἀπαραιτήτως τὸ αὐτὸ ἐτήσιον πρὸς τὸ κοινὸν τῆς μεγάλης ἐκκλησίας· ὀφειλόντων καὶ πάντων τῶν ἔν τε τοῖς χωρίοις τῆς κερασοῦντος, κἂν τοῖς ἐκεῖσε, καὶ ἐν τοῖς ὁρίοις τῆς λοιπῆς ἐπαρχίας τραπεζοῦντος μαντεγίοις εὑρισκομένων χριςιανῶν ἱερωμένων, καὶ λαϊκῶν τὸν κατὰ καιροὺς τραπεζοῦντος μόνον γινώσκειν νόμιμον, καὶ κανονικὸν, καὶ γνήσιον αὐτῶν ποιμένα, καὶ ἀρχιερέα καὶ καθολικὸν μητροπολίτην, καὶ πνευματικὸν προστάτην, καὶ πατέρα καὶ δεσπότην, καὶ ἀπονέμειν τῇ αὐτοῦ ἱερότητι πᾶσαν τιμὴν, καὶ ἀγάπην, καὶ εὐλάβειαν, καὶ δεξίωσιν, καὶ ὑπείκειν, καὶ ὑποτάσσεσθαι αὐτῷ κατὰ τὸ πρέπον, καὶ δίκαιον, καὶ παρέχειν εἰρηνικῶς τε, καὶ εὐπειθῶς πάντα τὰ ἀνήκοντα αὐτῷ ἐκκλησιαστικὰ εἰσοδήματα, καὶ δικαιώματα σῶα, καὶ ἀνελλειπῆ κατὰ τὴν συνήθειαν, καὶ μνημονεύειν τοῦ κανονικου αὐτοῦ ὀνόματος ἐν πάσαις ταῖς ἱεραῖς τελεταῖς, καὶ ἀκολουθίαις, ὡς εἴθισται, συντρέχειν τε καὶ βοηθεῖν αὐτῷ μετὰ πάσης προθυμίας λόγῳ, καὶ ἔργῳ ἐν πάσαις ταῖς ἀναγκαίαις ἐκκλησιαστικαῖς αὐτοῦ χρείαις, καὶ ὑποθέσεσι,

καὶ κατ᾽ οὐδὲν αὐτῷ ἀντιφέρεσθαι, ἢ ἐναντιοῦσθαι ἀτάκτως· ὅστις δ᾽ ἄν ποτε τῶν πάντων φανῇ ἐναντίος καὶ ἀπειθής, καὶ ἀνυπότακτος τῇ ἐκκλησιαστικῇ ἡμῶν ταύτῃ νομίμῳ τε, καὶ δικαίᾳ ἀποφάσει, καὶ τολμήσῃ ἐφ᾽ οἱαδήποτε ματαίᾳ προφάσει ἀνατρέψαι τε, καὶ ἀθετῆσαί τι τῶν ἐν τῷ παρόντι μετὰ πάσης εὐθυδικίας διοριζομένων τε, καὶ ἀποφαινομένων, καὶ ἐπιχειρήσῃ ἀντιποιηθῆναι ὅλως τοῦ πολλοστημορίου ἐκ τοῦ ἐνοριακοῦ τούτου δικαίου τῆς ἐπαρχίας τραπεζοῦντος, ὁ τοιοῦτος ὁποίας ποτ᾽ ἂν ᾖ τάξεώς τε καὶ βαθμοῦ, ὡς προφανὴς ἱερόσυλος, καὶ φιλάδικος, καὶ διεστραμμένος, καὶ κακοκέφαλος, καὶ παραβάτης τῆς ἐκκλησιαστικῆς θεσμοθεσίας, καὶ τοῦ δικαίου καταφρονητὴς ἀφωρισμένος εἴη ἀπὸ Θεοῦ κυρίου παντοκράτορος, καὶ κατηραμένος, καὶ ἀσυγχώρητος, καὶ μετὰ θάνατον ἄλυτος, καὶ τυμπανιαῖος· ἡ ὀργὴ τοῦ Θεοῦ εἴη ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ ἡ μερὶς αὐτοῦ μετὰ τοῦ προδότου Ἰούδα, καὶ προκοπὴν οὐ μὴ ἴδοι πώποτε ἐφ᾽ οἷς δουλεύει· σχισθείη ἡ γῆ καὶ καταπίοι αὐτὸν, ὡς τὸν Δαθάν ποτε καὶ Ἀβειρὼν, καὶ πάσαις ταῖς πατερικαῖς καὶ συνοδικαῖς ἀραῖς ὑπόδικος· ὅθεν εἰς ἔνδειξιν καὶ διηνεκῆ ἀσφάλειαν ἐγένετο καὶ τὸ παρὸν συνοδικὸν ἡμῶν ἐπιβεβαιωτήριον σιγιλλιῶδες ἐν μεμβράναις γράμμα, καὶ ἐδόθη τῇ μητροπόλει τραπεζοῦντος.

αψμδ΄. κατὰ μῆνα ἰούνιον ἐπινεμ. ζ΄.

(Ἕπεται ἡ τοῦ πατριάρχου καὶ 16 ἀρχιερέων ὑπογραφαί.)

Ἐκτὸς τούτου τοῦ σιγιλλιώδους γράμματος ἀπεςάλη ἄλλο πρὸς τοὺς κατοίκους τὸ ἑξῆς.

ΠΑΪΣΙΟΣ

ΕΛΕΩ ΘΕΟΥ κτλ.

Χρήσιμοι καὶ πρόκριτοι μαγίστορες καὶ πρωτομαγίστορες τῶν ἐν τοῖς ὁρίοις τῆς κερασοῦντος μαντενίων καὶ λοιποὶ εὐλογημένοι χριστιανοὶ, τέκνα ἐν κυρίῳ ἀγαπητὰ τῆς ἡμῶν μετριότητος, χάρις εἴη ὑμῖν ἅπασιν, καὶ εἰρήνη, καὶ ἔλεος παρὰ Θεοῦ κυρίου παντοκράτορος, καὶ παρ᾽ ἡμῶν, εὐχὴ, εὐλογία καὶ συγχώρησις. Διὰ τοῦ παρόντος ἡμετέρου πατριαρχικοῦ καὶ συνοδικοῦ γράμματος δηλοποιοῦμεν καὶ φανερώνομεν εἰς ὅλους σας, ὅτι ἐπειδὴ ὁ ἱερώτατος μητροπολίτης τραπεζοῦντος ὑπέρτιμος καὶ ἔξαρχος πάσης Λαζικῆς, ἐν ἁγίῳ

πνεύματι ἀγαπητὸς ἡμῶν ἀδελφὸς, καὶ συλλειτουργὸς κὺρ Ἀνανίας ἐλθὼν εἰς τὰ ὧδε σωματικῶς, καὶ παραστὰς ἐπὶ συνόδου ἔμπροσθεν τῆς ἡμῶν μετριότητος, ἔδειξε παλαιγενὲς συνοδικὸν συγιλλιῶδες γράμμα τοῦ ἀοιδίμου πατριάρχου κὺρ καλλινίκου διορίζον καὶ ἀποφαινόμενον, ὅπως ἡ κερασοῦς μητρόπολις οὖσα τὸ πρότερον, ὕστερον δὲ μεταπεσοῦσα εἰς πατριαρχικὴν ἐξαρχίαν ὑπάρχῃ μετὰ πάντων τῶν χωρίων αὐτῆς, τριπόλεώς τε, κοράλου, καὶ τῶν λοιπῶν συνηνωμένη καὶ ὑποκειμένη τῇ ἁγιωτάτῃ μητροπόλει τραπεζοῦντος· προσέτι δὲ ἔδειξεν ὁμοίως καὶ ἡμέτερον πατριαρχικὸν συνοδικὸν γράμμα ἐκδοθὲν ἐπὶ τῆς πρώτης ἡμῶν πατριαρχίας, καὶ διαλαμβάνον τὰ αὐτὰ, καὶ ἐπιβεβαιοῦν ἕτερα δύο μεταγενέστερα συνοδικὰ γράμματα τοῦ ἀειμνήστου πατριάρχου κὺρ κυπριανοῦ ἐμφανισθέντα καὶ ἐκεῖνα εἰς τὴν σύνοδον, καὶ ἐπικυροῦντα τὸ εἰρημένον παλαιὸν ἐκκλησιαστικὸν σιγίλλιον, καὶ βεβαιοῦντα ἐπάνω τῆς μητροπόλεως τραπεζοῦντος ὅλην τὴν κερασοῦντα, ὡς ἐνοριακὸν αὐτῆς δίκαιον. Πρὸ ὀλίγων δὲ ἤδη χρόνων οὐκ οἴδαμεν ὅπως ἡ κερασοῦς αὕτη ἀποσπασθεῖσα, καὶ ἀποξενωθεῖσα τῆς μητροπόλεως τραπεζοῦντος, ἐδόθη ὑπὸ τὴν ἐπιστασίαν, καὶ διοίκησιν τοῦ ἤδη ἀρχιερατεύοντος ἐν τῇ ἀρχιεπισκοπῇ χαλδίας κὺρ Ἰγνατίου· ἀλλ' ὁ ῥηθεὶς τραπεζοῦντος κὺρ ἀνανίας μὴ ἀνεχόμενος νὰ ὑστερηθῇ ἡ μητρόπολις τὸ παλαιὸν τοῦτο ἐνοριακόν της δίκαιον, παραστὰς ἤδη ἐπὶ τοῦ ἐκκλησιαστικοῦ ἡμῶν κριτηρίου, ἐκίνησεν ἀγωγὴν, καὶ ἐζήτησε θερμῶς νὰ ἀποκατασταθῇ αὐτὸ τὸ δίκαιον εἰς τὸν τόπον του· μάλιστα δὲ μᾶς ἔδειξε πρὸς τούτοις καὶ νέαν κοινὴν ἐνυπόγραφον ἀναφορὰν τῶν χριστιανῶν τῆς κερασοῦντος, οἱ ὁποῖοι προσκλαιόμενοι μεγάλως φανερώνουσι, ὅτι μὲ τὸ νὰ μὴν ἔχωσιν ἀπὸ τὸν χαλδίας τὴν πρέπουσαν ἀρχιερατικὴν προστασίαν, καὶ πνευματικὴν ἐπίσκεψιν διά τε τὸ μάκρος τῆς ὁδοῦ, καὶ δι' ἄλλας τινας εὐλόγους αἰτίας, ἐξέπεσαν εἰς μεγάλην ἀνευλάβειαν, ὥστε καὶ μερικοὶ ἐξ αὐτῶν ἐξέκλιναν ἅμα, καὶ ἠχρειώθησαν, καὶ κατὰ ψυχὴν κινδυνεύουσι· διὰ τοῦτο καὶ αὐτοὶ ὁμοίως δέονται ἀποσπασθῆναι τῆς ἀρχιεπισκοπικῆς χαλδίας, καὶ προσκληθῆναι αὖθις τῇ μητροπόλει τραπεζοῦντος, ὡς καὶ πρότερον· ὅθεν καὶ ἡμεῖς κατὰ τὴν περίληψιν τῶν εἰρημένων συνοδικῶν ἀποφασιστικῶν γραμμάτων, καὶ κατὰ τὴν κοινὴν αὐτὴν εὔλογον αἴτησιν ἀπεφασίσαμεν ἤδη συνοδικῶς δι' ἐκδοθέντος νέου ἐκκλησιαστικοῦ ἡμῶν σιγιλλιώδους ἐπιβεβαιωτηρίου

